÷ ἐκ πολέμου: [illegible]

νήσῳ δ' ἐν Κραναῇ· [illegible]

ἀλλ' ἴθι νῦν· [illegible]

ὄσσε πάλιν κλίνασα· πόσιν δ' ἠνίπαπε μύθῳ·
ἤλυθες ἐκ πολέμου· ὡς ὤφελες αὐτόθ' ὀλέσθαι
ἀνδρὶ δαμεὶς κρατερῷ, ὃς ἐμὸς πρότερος πόσις ἦεν.
ἦ μὲν δὴ πρίν γ' εὔχε' ἀρηϊφίλου Μενελάου
σῇ τε βίῃ καὶ χερσὶ καὶ ἔγχει φέρτερος εἶναι·
— ἀλλ' ἴθι νῦν προκάλεσσαι ἀρηΐφιλον Μενέλαον
— ἐξαῦτις μαχέσασθαι ἐναντίον· ἀλλά σ' ἔγωγε
— παύσασθαι κέλομαι· μηδὲ ξανθῷ Μενελάῳ
— ἀντίβιον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι
— ἀφραδέως· μή πως τάχ' ὑπ' αὐτοῦ δουρὶ δαμήῃς.
τὴν δὲ Πάρις μύθοισιν ἀμειβόμενος προσέειπε·
μή με γύναι χαλεποῖσιν ὀνείδεσι θυμὸν ἔνιπτε·
νῦν μὲν γὰρ Μενέλαος ἐνίκησεν σὺν Ἀθήνῃ,
κεῖνον δ' αὖτις ἐγώ· πάρα γὰρ θεοί εἰσι καὶ ἡμῖν.
ἀλλ' ἄγε δὴ φιλότητι τραπείομεν εὐνηθέντε·
οὐ γάρ πώ ποτέ μ' ὧδέ γ' ἔρως φρένας ἀμφεκάλυψεν,
οὐδ' ὅτε σε πρῶτον Λακεδαίμονος ἐξ ἐρατεινῆς
ἔπλεον ἁρπάξας ἐν ποντοπόροισι νέεσσι,
> νήσῳ δ' ἐν Κραναῇ ἐμίγην φιλότητι καὶ εὐνῇ,
ὥς σεο νῦν ἔραμαι καί με γλυκὺς ἵμερος αἱρεῖ.
ἦ ῥα, καὶ ἄρχε λέχοσδε κιών· ἅμα δ' εἵπετ' ἄκοιτις.
τὼ μὲν ἄρ' ἐν τρητοῖσι κατεύνασθεν λεχέεσσιν·
Ἀτρεΐδης δ' ἀν' ὅμιλον ἐφοίτα θηρὶ ἐοικώς,
εἴ που ἐσαθρήσειεν Ἀλέξανδρον θεοειδέα.
ἀλλ' οὔ τις δύνατο Τρώων κλειτῶν τ' ἐπικούρων

ὃν δ' ὅτε σε πρῶτον· [illegible]

ὡς σεο νῦν ἔραμαι· [illegible]

Δέλτα θεῶν ἀγορήν, ὅρκων χύσιν, ἄρεος ἀρχήν·

[illegible]

δεῖξαι Ἀλέξανδρον τότ' ἀρηϊφίλῳ Μενελάῳ·
οὐ μὲν γὰρ φιλότητί γ' ἐκεύθανον εἴ τις ἴδοιτο·
ἶσον γάρ σφιν πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ.
τοῖσι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
κέκλυτέ μευ Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι·
νίκη μὲν δὴ φαίνετ' ἀρηϊφίλου Μενελάου.
ὑμεῖς δ' Ἀργείην Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῇ
ἔκδοτε, καὶ τιμὴν ἀποτινέμεν ἥν τιν' ἔοικεν,
ἥ τε καὶ ἐσσομένοισι μετ' ἀνθρώποισι πέληται.
ὣς ἔφατ' Ἀτρεΐδης, ἐπὶ δ' ᾔνεον ἄλλοι Ἀχαιοί.

[illegible]

Γ

ΙΛΙΑΔΟΣ Δ

Οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο
χρυσέῳ ἐν δαπέδῳ, μετὰ δέ σφισι πότνια Ἥβη
νέκταρ ἐῳνοχόει· τοὶ δὲ χρυσέοις δεπάεσσι
δειδέχατ' ἀλλήλους, Τρώων πόλιν εἰσορόωντες.
αὐτίκ' ἐπειρᾶτο Κρονίδης ἐρεθιζέμεν Ἥρην
κερτομίοις ἐπέεσσι, παραβλήδην ἀγορεύων·
δοιαὶ μὲν Μενελάῳ ἀρηγόνες εἰσὶ θεάων,
Ἥρη τ' Ἀργείη καὶ Ἀλαλκομενηῒς Ἀθήνη.

χρυσέῳ ἐν δαπέδῳ: [illegible]

[illegible]

ἀλλ' ἤτοι ταὶ νόσφι καθήμεναι εἰσορόωσαι
τέρπεσθον· τῷ δ' αὖτε φιλομμειδὴς Ἀφροδίτη
αἰεὶ παρμέμβλωκε, καὶ αὐτοῦ κῆρας ἀμύνει· παρέστη
καὶ νῦν ἐξεσάωσεν ὀϊόμενον θανέεσθαι.
ἀλλ' ἤτοι νίκη μὲν ἀρηϊφίλου Μενελάου·
ἡμεῖς δὲ φραζώμεθ' ὅπως ἔσται τάδε ἔργα·
ἤ ῥ' αὖτις πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνὴν
ὄρσομεν, ἦ φιλότητα μετ' ἀμφοτέροισι βάλωμεν.
εἰ δ' αὖ πως τόδε πᾶσι φίλον καὶ ἡδὺ γένοιτο,
ἤτοι μὲν οἰκέοιτο πόλις Πριάμοιο ἄνακτος·
αὖτις δ' Ἀργείην Ἑλένην Μενέλαος ἄγοιτο.
ὣς ἔφαθ'· αἳ δ' ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρη.
πλησίαι αἵ γ' ἥσθην, κακὰ δὲ Τρώεσσι μεδέσθην·
ἤτοι Ἀθηναίη ἀκέων ἦν, οὐδέ τι εἶπε,
σκυζομένη Διὶ πατρί· χόλος δέ μιν ἄγριος ᾕρει·
Ἥρῃ δ' οὐκ ἔχαδε στῆθος χόλον, ἀλλὰ προσηύδα·
αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες·
πῶς ἐθέλεις ἅλιον θεῖναι πόνον ἠδ' ἀτέλεστον,
ἱδρῶ θ' ὃν ἵδρωσα μόγῳ, καμέτην δέ μοι ἵπποι
λαὸν ἀγειρούσῃ, Πριάμῳ κακὰ τοῖό τε παισίν·
ἔρδ'· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.
τὴν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς·
δαιμονίη, τί νύ σε Πρίαμος Πριάμοιό τε παῖδες
τόσσα κακὰ ῥέζουσιν, ὅτ' ἀσπερχὲς μενεαίνεις
Ἰλίου ἐξαλαπάξαι ἐϋκτίμενον πτολίεθρον·

ὅπως ἔσται τάδε ἔργα: ὑπερβατόν ἐστι τὸ τάδε ἔργα καὶ ὄρσομεν [illegible] τῶν προτέρων [illegible] δὲ τῶν δευτέρων. οἱ δὲ ὑποστίζουσιν ἐπὶ τὸ ὄρσομεν πάλιν ὑπὸ τῆς [illegible] κεῖσθαι παραφέρονται· ἔστι καὶ [illegible] αὐτῆς [illegible] μᾶλλον. οἱ δὲ στίζουσιν ἐπὶ τὸ ὄρσομεν· ὁ γὰρ λόγος φραζώμεθα ὅπως ἔσται ταῦτα πότερον πάλιν πόλεμον ποιήσομεν ἢ φιλίαν [illegible]:— εἰ δ' αὖ πως. [illegible] Ἀρίσταρχον [illegible]:—

πλησίαι αἵ γ' ἥσθην: ἐκαθέζοντο Ἥρας καὶ Ἀθηνᾶς ὑποτίθεται ἑκατέρας πλησίον τοῦ Διός.

ἤτοι Ἀθηναίη: [illegible] ἀκέουσα [illegible] οὐ γάρ [illegible] ἀντὶ τοῦ [illegible]:—

ἅλιον. [illegible] ἀλιευτικῶς [illegible] μάταιον [illegible] θαλάσσῃ ὕδωρ τὸ [illegible] ποταμῷ λέγεται:—

ἱδρῶ θ' ὃν ἵδρωσα. [illegible] τὸ δὲ ἱδρῶσαι [illegible] χρόνον [illegible]:— τόσσα κακὰ ῥέζουσι. [illegible]:—

ἔρξον ὅπως ἐθέλεις· ὃ θέλεις πρᾶξον μή ποτε ἡ ἀμφισβήτησις αὕτη ἐμοί καὶ σοὶ γένηται· οἱ δὲ γράφουσι νεῖκος. λείπει φασὶ τὴν διὰ· καὶ τὸ γένηται ὑποτακτικὸν ἀντὶ τοῦ γένοιτο ἢ γενέσθω:

καὶ γὰρ ἐγὼ σοὶ δῶκα ἑκών: τὸ δὲ κοινὸν ἀπέμφαινε· ἔγνω στίχον· οὐδὲ μίαν ἔχει διόρθωσιν ἐκ διαστολῆς· ὁ μὲν γὰρ λόγος διαστέλλειν ἐστὶ τὸ ἑκών. λέγει ἑκὼν μὲν ἐπεὶ μὴ ἐβιάσθη ἀλλὰ ἐξῆν· ἀέκοντι δὲ θυμῷ. ἐπεὶ μὴ προείλετο ἀλλὰ ἀπεσ... τὴν πόλιν προϊέσθαι τῇ γαμετῇ. σχεδὸν δὲ πᾶσι σημαίνει τοῦτο τὸ οὐδὲν ἄτοπον προσκειμένου τὸ ἑκάτερον αἱρουμένοις:—

ἄλλως: καὶ γὰρ ἐγὼ σοὶ δῶκα ἑκὼν ἀέκοντί γε. πολλὰ γὰρ παρὰ προαίρεσιν τῆς ψυχῆς πράττομεν πρὸς τὸ κεχαρισμένον ... καταδεξάμενος μὲν ἐγὼ τάδε τῆς προαιρέσεως ... μοι κατανεύσας:—

εἰ δὲ σύ γ' ἐσελθοῦσα πύλας καὶ τείχεα μακρὰ.
ὠμὸν βεβρώθοις Πρίαμον Πριάμοιό τε παῖδας
ἄλλους τε Τρῶας. τότε κεν χόλον ἐξακέσαιο.
ἔρξον ὅπως ἐθέλεις. μὴ τοῦτό γε νεῖκος ὀπίσσω
σοὶ καὶ ἐμοὶ μέγ' ἔρισμα μετ' ἀμφοτέροισι γένηται·
ἄλλο δέ τοι ἐρέω σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
ὁππότε κεν καὶ ἐγὼ μεμαὼς πόλιν ἐξαλαπάξαι
τὴν ἐθέλω. ὅθι τοι φίλοι ἀνέρες ἐγγεγάασι·
μή τι διατρίβειν τὸν ἐμὸν χόλον· ἀλλά μ' ἐᾶσαι·
καὶ γὰρ ἐγὼ σοὶ δῶκα ἑκὼν ἀέκοντί γε θυμῷ·
αἳ γὰρ ὑπ' ἠελίῳ τε καὶ οὐρανῷ ἀστερόεντι
ναιετάουσι πόληες ἐπιχθονίων ἀνθρώπων·
τάων μοι περὶ κῆρι τιέσκετο Ἴλιος ἱρή·
καὶ Πρίαμος καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.
οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐΐσης
λοιβῆς τε κνίσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·
ἤτοι ἐμοὶ τρεῖς μὲν πολὺ φίλταταί εἰσι πόληες·
Ἄργός τε Σπάρτη τε καὶ εὐρυάγυια Μυκήνη·
τὰς διαπέρσαι. ὅτ' ἄν τοι ἀπέχθωνται περὶ κῆρι·
τάων οὔ τοι ἐγὼ πρόσθ' ἵσταμαι οὐδὲ μεγαίρω·
εἴπερ γὰρ φθονέω τε καὶ οὐκ εἰῶ διαπέρσαι·
οὐκ ἀνύω φθονέουσ'. ἐπεὶ ἦ πολὺ φέρτερός ἐσσι·
ἀλλὰ χρὴ καὶ ἐμὸν θέμεναι πόνον οὐκ ἀτέλεστον·
καὶ γὰρ ἐγὼ θεός εἰμι· γένος δέ μοι ἔνθεν, ὅθεν σοι·

δῶκα ἑκών: ἐν ἄλλῳ ἀέκοντί γε θυμῷ· ... οἱ ἄνθρωποι πλεῖστα ἑκόντες μὲν ἀπο... τὰ φορτία ... ἀέκοντες δὲ ... :—

δοκεῖ δέ πως ἐναντίον εἶναι τὸ ἑκὼν ἀέκοντί γε θυμῷ· διὸ καλῶς ὁ Πορφύριός φησι συναρμόζειν τῷ ... τὸ ἑκὼν ... δῶκα ἀέκοντί γε θυμῷ· ... ἀέκοντος ... τῆς διανοίας ὁ ... μένουσα:—

ναιετάουσι: ὅτι τὸ ἐνεργητικὸν ἀντὶ τοῦ παθητικοῦ κέχρηται ἀντὶ τοῦ ναιετάονται:—

τάων μοι περὶ κῆρι: τὸ περὶ ... τὸν τόνον. ὅτε σημαίνει τὸ περισσῶς ὁμοίως τῷ περιμάχητον ... περιδιδοῦσι θεοῖσι: τὸ δὲ κῆρι οὐδέτερον ὅταν καὶ προπερισπᾶται ἐπὶ τοῦ κέαρος ... ὅταν δὲ θηλυκὸν κὴρ ... ἐνταῦθα δὲ οὐδέτερον διὰ τὸ προπερισπασθῆναι ... :—

Ἴλιος ἱρή: διὰ παντὸς θηλυκῶς ἅπαξ δὲ οὐδετέρως Ἴλιον αἰπὺ ἔρδοιεν ἀθηναίης διαλέγεται:—

Ἄργός τε Σπάρτη τε: ὅτι τούτων τῶν πόλεων ἐν ἑκάστῃ ἐμάχοντο τοῖς Ἕλλησιν οὐ διὰ τὸ ... ὑπὸ Ἀλεξάνδρου ... ὁ ποιητὴς ὁ Ὅμηρος:—

τὰς διαπέρσαι: προστακτικὸν ἡ ... τοῦ διαπέρσαι· ἔν ἦ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ ... τὸν ὁρίζοντα τὸ ἦ ... οἱ πόλεις τῶν παρὰ χεῖρα ... μειζόνων ἀμελοῖεν:—

μεγαίρω: ἀντὶ μέλλοντος τοῦ φθονήσω ... ἐν αὐτῷ τὸ φθονεῖν:—

εἴπερ γὰρ φθονέω τε: ... ἀμφότεροι. ὅτι τὴν χάριν ἀμφοτέροις εἰ καὶ μὴ πρόσθεν ... δύναται τοῦτ' ἔχειν:—

+ Καί με πρεσβυτάτην: τιμιωτάτην ἡμῶν. [illegible] ἀγκυλομήτης: ὁ ἐν τοῖς [illegible] εἶδος· ἢ ὁ περὶ τὸν νοῦν [illegible] καὶ σκολιὸν [illegible]:—

Ἀμφότερον γενεῇ: διὰ [illegible] ἀμφότερον. γενεῇ τε, κέκλημαι· φησὶ γὰρ διὰ ταῦτα πάντα [illegible] εἶναι διὰ [illegible] καὶ διότι Διὸς γυνὴ τοῦ πάντων βασιλέως: Σὺ δὲ θᾶσσον Ἀθηναίῃ ἐπιτεῖλαι: τὸ ἐπιτεῖλαι ἀντὶ προστακτικοῦ κεῖται. τὸ δὲ πειρᾶν· εἰ μὲν ἀπαρέμφατον, σημαίνει [illegible] πρὸ αὐτοῦ· κατὰ τὴν τάξιν τοῦ προτέρου λόγου· εἰ δὲ ἀντὶ προστακτικοῦ, αὐτὸ κεῖται τὸ τοῦ [illegible]:—

Ὑπερκύδαντας: τὰ εἰς δας ὑπὲρ δύο συλλαβὰς ἰσοσυλλάβως κλίνονται· οἷον Ἀρκάδας Ἀρκάδα, Τιμαχίδας Τιμαχίδα, Σουΐδας Σουΐδα, Λεωνίδας Λεωνίδα, Χαρμάδας Χαρμάδα. δεῖ δὲ προσθεῖναι χωρὶς εἰ μὴ ἀπὸ μετοχῆς ῥήματος γένωνται· ἐκεῖ γὰρ περιττοσυλλάβως κλίνονται, [illegible] οἷον οἰδῶ οἰδᾶς οἰδάντος· μειδιῶ μειδᾶς μειδάντος· χαρίζομαι χαρίδας χαρίδαντος· φείδομαι ἀφειδὰς ἀφειδάντος. τούτων [illegible] τὸ ὑπερκύδαντας Ἀχαιούς. μήποτε ἀπὸ [illegible] ῥήματός ἐστι τοῦ κυδαίνω [illegible] κυδήεις κυδήεντος κυδήεντας καὶ ὑπερκυδήεντας. [illegible] κυδαίνω ἐκύδανα κυδάνας ὑπερκυδάνας ὑπερκυδάναντας καὶ κατὰ συγκοπὴν ὑπερκύδαντας. [illegible] ὀνοματικοὶ [illegible] ἐπὶ [illegible] ὀνοματικοὶ [illegible] τοῦ γὰρ [illegible] εἶναι Ἡρωδιανοῦ. [illegible]:—

Ἐς στρατὸν ἐλθέ: ὅτι τὸ μὲν ἐλθὲ προστακτικόν, τὸ δὲ πειρᾶν ἀπαρέμφατον ἀντὶ τοῦ πειρᾶ προστακτικοῦ.

Οἷον δ' ἀστέρα: τοὺς τοιούτους διάττοντας καλοῦσι, δοκοῦσι δὲ [illegible] ἀέρος γίνεσθαι· [illegible] δηλοῖ [illegible] σπινθηρίζουσι δὲ καὶ πρὶν [illegible] πεσεῖν [illegible] ἀέρι [illegible]:—

[illegible] τὸ [illegible]

Κὰδ δ' ἔθορ' ἐς μέσσον: [illegible] καὶ [illegible] ἢ [illegible] δηλοῖ. τὸ θάμβος δὲ οὐδετέρως [illegible] ὁ [illegible] ἀρσενικῶς:—

[illegible]

Καί με πρεσβυτάτην τέκετο Κρόνος ἀγκυλομήτης
ἀμφότερον γενεῇ τε, καὶ οὕνεκα σὴ παράκοιτις
κέκλημαι· σὺ δὲ πᾶσι μετ' ἀθανάτοισιν ἀνάσσεις.
ἀλλ' ἤτοι μὲν ταῦθ' ὑποείξομεν ἀλλήλοισι·
σοὶ μὲν ἐγώ, σὺ δ' ἐμοί. ἐπὶ δ' ἕψονται θεοὶ ἄλλοι
ἀθάνατοι· σὺ δὲ θᾶσσον Ἀθηναίῃ ἐπιτεῖλαι
ἐλθεῖν ἐς Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν·
πειρᾶν δ' ὥς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς
ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι.
ὣς ἔφατ'. οὐδ' ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε·
αὐτίκ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
αἶψα μάλ' ἐς στρατὸν ἐλθὲ μετὰ Τρῶας καὶ Ἀχαιούς·
πειρᾶν δ' ὥς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς
ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι·
ὣς εἰπὼν ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην·
[illegible] δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα·
οἷον δ' ἀστέρα ἧκε Κρόνου πάϊς ἀγκυλομήτεω
ἢ ναύτῃσι τέρας, ἠὲ στρατῷ εὐρέϊ λαῶν
λαμπρόν· τοῦ δέ τε πολλοὶ ἀπὸ σπινθῆρες ἵενται·
τῷ εἰκυῖ' ἤϊξεν ἐπὶ χθόνα Παλλὰς Ἀθήνη.
κὰδ δ' ἔθορ' ἐς μέσσον· θάμβος δ' ἔχεν εἰσορόωντας
Τρῶάς θ' ἱπποδάμους, καὶ ἐϋκνήμιδας Ἀχαιούς·
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
ἢ ῥ' αὖτις πόλεμός τε κακὸς καὶ φύλοπις αἰνὴ
ἔσσεται. ἢ φιλότητα μετ' ἀμφοτέροισι τίθησι

+ ἔσσεται: [illegible] ὅτι τὸ [illegible] εἴρηται γὰρ καὶ [illegible] πρὸ ταύτης [illegible] ὅτι [illegible] ὑποτακτικόν. [illegible] φησὶν ἐν ὑποκρίσει.

+ Πάνδαρον ἀντίθεον διζημένη: τοῦτο καὶ τὸ ἑξῆς παρακείμενα δι' ἅπαντα ἀθετηθήσεται ὅτι ζητεῖ. διὸ τοῦτο μὲν τὸ ἀκροτελεύτιον οὕτως γράφει· εὗρε δὲ τὸν δε· τὸν δὲ δεύτερον οὐ διεγράφη διὰ τὸ ἀπίθανον εἶναι τὸ ζητεῖν εἶναι· κατα.. δὲ τὸ διζημένη ἀγνοεῖ δὲ ὅτι ὁμοιωθεῖσα Λαοδόκῳ ἀγνοεῖν ἔχειν ἀνάγκη ἐστι τῇ δόξῃ:–

εἴ που ἐφεύροι· οὐκ ὡς θνεῖ φησὶν ὁ Πάνδαρος, ἀλλ' Ἀθηνᾶ συμβουλεύει καὶ ζητεῖ ἀπειρημένον ῥηθὲν ὁμοίως. ὁ μὲν ζητεῖ εἰδὼς τοῖς ὅρκοις κακῶς γεγενημένοις· οὐ δεῖ γὰρ ἕτερος πρὸς ὃς κ' ἐστι τοῖς ἀλλοτρίοις ὀμόσαι· διὰ τοῦτο ἐβούλετο ἐκδοθῆναι τὰς ἀδίκους συνθήκας· Ἀθηνᾶ δὲ μὴ ὑπομνησθεῖσα τὸν λογισμὸν αὐτὸν τὸν τοῦ Πανδάρου καὶ ὅτι αὐτὸν προσθεῖσα τοῦτο διενοήθη· ἄπιστοι γὰρ Λυκάονος ὡς καὶ Ἀρίσταρχος μαρτυρεῖ· ἄλλοι δὲ καὶ αὐτοῖς τοῖς ὅρκοις φασὶ προειρῆσθαι τὸν ποιητὴν πειρᾶσθαι αἴ κε θεμιστοῦ πείθειν:–

Ζεύς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.
ὣς ἄρα τις εἴπεσκεν Ἀχαιῶν τε Τρώων τε.
ἡ δ' ἀνδρὶ ἰκέλη Τρώων κατεδύσεθ' ὅμιλον,
Λαοδόκῳ Ἀντηνορίδῃ, κρατερῷ αἰχμητῇ,
> Πάνδαρον ἀντίθεον διζημένη, εἴ που ἐφεύροι.
> εὗρε Λυκάονος υἱὸν ἀμύμονά τε κρατερόν τε
ἑσταότ'· ἀμφὶ δέ μιν κρατεραὶ στίχες ἀσπιστάων
λαῶν, οἵ οἱ ἕποντο ἀπ' Αἰσήποιο ῥοάων.
ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
ἦ ῥά νύ μοί τι πίθοιο, Λυκάονος υἱὲ δαΐφρον.
τλαίης κεν Μενελάῳ ἐπιπροέμεν ταχὺν ἰόν.
πᾶσι δέ κε Τρώεσσι χάριν καὶ κῦδος ἄροιο.
ἐκ πάντων δὲ μάλιστα Ἀλεξάνδρῳ βασιλῆϊ.
τοῦ κεν δὴ πάμπρωτα παρ' ἀγλαὰ δῶρα φέροιο
αἴ κεν ἴδῃ Μενέλαον ἀρήϊον Ἀτρέος υἱόν.
σῷ βέλει δμηθέντα, πυρῆς ἐπιβάντ' ἀλεγεινῆς.
> ἀλλ' ὄϊστευσον Μενελάου κυδαλίμοιο.
> εὔχεο δ' Ἀπόλλωνι Λυκηγενέϊ κλυτοτόξῳ.
> ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην.
οἴκαδε νοστήσας ἱερῆς εἰς ἄστυ Ζελείης.
ὣς φάτ' Ἀθηναίη, τῷ δὲ φρένας ἄφρονι πεῖθεν.
αὐτίκ' ἐσύλατο τόξον ἐΰξοον ἰξάλου αἰγὸς
ἀγρίου, ὅν ῥά ποτ' αὐτὸς ὑπὸ στέρνοιο τυχήσας
πέτρης ἐκβαίνοντα, δεδεγμένος ἐν προδοκῇσι.
> βεβλήκει πρὸς στῆθος· ὁ δ' ὕπτιος ἔμπεσε πέτρῃ.

πίθοιο: διατί ἡ Ἀθηνᾶ εἰς συγχυσιν τῶν ὅρκων δι' ἑτέρου τινὰ ἐπεβάλετο ἀλλ' οὐκ ἐπικούρων καίτοι κεχαρισμένον ἂν ἦν αὐτῇ εἰ Ἀλέξανδρος εἴτε τῶν οἰκείων ἦν· καὶ διατί τῶν ἐπικούρων τὸν Πάνδαρον ἐπελέξατο· καί φησιν Ἀρίσταρχος ὅτι τῶν μὲν Τρώων οὐδένα διότι πάντες αὐτὸν ἐμίσουν ὡς ὁ ποιητής φησιν· ἶσον γάρ σφιν ἀπήχθετο κηρὶ μελαίνῃ. τῶν δὲ ἐπικούρων τὸν Πάνδαρον ἐπελέξατο ὡς φιλοχρήματον σημειωτέον ἦν τὸ ἵππων αὐτοῦ ἐπ' οἴκου καταλιπεῖν ἵνα μὴ δαπανᾶν· ὁ φιλοχρήματος ἐπίορκος· τὸ γὰρ ἔθος ἔτι καὶ νῦν δοκεῖ εἶναι ὁ θεὸς εὐκείμενος ἐπὶ ἐπιόρκων. τινὲς δὲ οὕτως λύουσιν, ὅτι ἀρίστου κεχειρίστου δεινῶς ἀμείνοντ' ἔρωτα καὶ καταστοχάσασθαι, οὐ κεῖνο δὲ ἐντός, τῶν ἱκανῶν μένειν τις. κ' Ἀλέξανδρος μὲν (?) καὶ Πάνδαρος εὐφυὴς τὸ τόξον καὶ ἐστι φασὶ μὴ συναι τὸν ποιητὴν Πάνδαρος ὃς καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν· ὃ δὲ ἡ μαίνεται τῶν τοξικῶν ὡς ἄριστον ἦν αὐτὸν ἐπελέξατο τοξότην:–

τλαίης κεν Μενελάῳ ἐπιπροέμεν· Ἀρίσταρχος ἀναστρέφει ἵνα τὸ ἑξῆς γένηται ἐπὶ Μενελάῳ ὡς καὶ ἐπικείμενον κ' καὶ ἐναντιώσεως ἵνα... Μενεκράτης δὲ ὁ Μιλήσιος ὑφ' ἕν ἐπιπροέμεν ὁμοίως τῷ ἐπιπροΐημι καὶ ἐπιπροέηκεν ἵν' ἔμφασις μᾶλλον γένηται:–

παρ' ἀγλαὰ δῶρα· τινὲς ἀναστρέφουσι τὴν παρὰ κακῶς· οὐ δεῖ γὰρ ἀναστρέφεσθαι πρὸ γενικῆς συνταττομένη. ὡς ἔστιν τὸ ἑξῆς παρὰ φέροιο:–

τοῦ κεν δὴ πάμπρωτα: προσκαρτερεῖ ἡ Ἀθηνᾶ καὶ ἀλλὰ κέκληκε τὸν Ἀλέξανδρον ἕνεκα τοῦ μᾶλλον πεῖσαι αὐτὸν ἐπειδὴ μάζονος δωρεᾶς:–

πυρῆς ἐπιβάντ' ἀλεγεινῆς· ἀναστρεπτέον ἵνα γένηται τὸ ἑξῆς ἐπὶ πυρῆς καὶ τὰ ἑξῆς. ἔμφασις γὰρ γίνεται τῇ μεταχρήσει ὡς συντάσσει ἡ πρό:–

ὅτι οἱ ἀρχαῖοι τὰ σώματα οὐκ ἔθαπτον ὑπὸ γῆν εἰ μὴ πρότερον ἔκαυσαν ἢ θύοντες τὴν τέφραν σὺν τοῖς ὀστοῖς ἐχώννυον ἐν ἀγγείοις τισὶν ἀποτιθέμενοι:–
Λυκηγενέϊ: φασὶν ὅτι Λητὼ ἀποδιάζουσα κ' λητῶ τὸ Ἡρας ἠλθεν εἰς Λυκίαν ἀπαλλαγῆναι ὡς ... ἐν Λυκίᾳ ἐκαλεῖτο. Λυκηγενῆ δὲ ... τοξικῆς ἰατρικῆς μαντικῆς καὶ μουσικῆς:–
ὁ δ' ὕπτιος· ὅτι οἱ πρηνεῖς ἀλλ' οἱ ὕπτιοι ἀποθνήσκουσιν ὑπὸ τῆς πληγῆς συνίστησι διαταθέντος τοῦ παρόντος:–
οἴκαδε νοστήσας: ὅτι ἡ ὑπὸ τῆς ... ἡ δημωδία τὸ παλαιὸν ἐξῆλθε ἐκαλεῖτο διὰ τὸ ... ἐν αὐτῇ Λυκίᾳ ἐβεβοήθητο +

ἰξάλου: ἤτοι τελείου κ' πηδητικοῦ καὶ ὁρμητικοῦ παρὰ τὸ ἵεσθαι κ' ὡς ὁ Πορφύριος ἀλλὰ τὸ κατὰ Ὁμήρου σημειωτέον ... πολλάκις τέλειον αἰγῶν τοὺς τελείους διοικομένους ἐν τοῖς ἔθεσιν ... παρατείνειν ... ἐν γυμναστικῇ μάχαις +

τοῦ κέρα: ἀποκοπὴ τοῦ κέρατος ἢ διὰ τὴν συναλιφὴν τοῦ κέραος· τὸ δὲ ἐχεύσαν χρεὼ συγκοπή:-
ἑκκαιδεκάδωρα· καὶ πῶς ἐπὶ κέρας δύο ἥμισυ πηχῶν; ἀλλ' οὐκ ἔστιν ἑκάτερον φησὶν ἀλλ' ἀμφότερα· Ἀλέξανδρος δέ φησιν ἐν Ἰνδίαις κεῖσθαι κέρατα ἀπὸ τῆς ἐρυθρᾶς θαλάσσης· κριοῦ μὲν δίπηχυ καὶ δακτύλων ὀκτὼ ἰσοσταθμοῦντα δὲ μνῶν ἑξ· τράγου δὲ πηχῶν δύο καὶ σταθμὸν ἴσον. δῶρον καλεῖται ὁ παλαιστὴς ὅ ἐστιν ἑκάστης τῶν χειρῶν τεσσάρων δακτύλων. ἢ καὶ ἑκκαίδεκα ἐνιαυτῶν· ὥρος γὰρ ὁ ἐνιαυτὸς ὅπερ ἄτοπον:-
καὶ τὸ μὲν εὖ κατέθηκε τανυσσάμενος· ἔστι τὸ ταννυσάμενος ἀρχὴ διασταλτέον· πρὸ γὰρ τῆς γῆς ἀνέκλινεν αὐτὸ πρότερον ἐν τῇ ἐντείνειν:- ποτὶ γαίῃ ἀγκλίνας: πρὸς τῇ γῇ ἐστήριξεν ἑαυτὸν δηλονότι τοῦ μὴ ὁραθῆναι ὑπὸ τῶν ἐχθρῶν:-

ἀβλῆτα πτερόεντα μελαινέων· ἀθετεῖται ὁ στίχος ὡς ἀπρεπὴς ἀβλητον καὶ μὴ δεδομένον καὶ ἀφειμένον ἐχόμενοι κακῶς· τὸ γὰρ καινὸν ὄνομα οὐκ ἔστι τῷ ψιλῷ προσθεῖναι τίθησι καὶ διὰ τοῦ μελαινέων ἕρμ' ὀδυνάων ἐχόμενοι λέγει ἐν μαχαίρᾳ καθ' ὅμηρον ἔρεισμα καὶ κόλυμα ἢ ... ὀδυνῶν καὶ κόμμα τὸ βέλος:- ×
νευρὴν μὲν μαζῷ· ὁ Ζηνόδοτος περιττὸν ἐδοξεν τὸν στίχον οὗτος ποιητοῦ· ἕλκε δ' ὁμοῦ γλυφίδας τε καὶ νεῦρα βόεια· εἶτα αὐτὰρ ἐπεὶ δὴ κυκλοτερὲς μέγα τόξον ἔτεινε· νευρὴν μὲν μαζῷ πέλασεν τόξῳ δὲ σίδηρον εἶτα λίγξε βιός. οὐ μόνον δ' ὅτι διὰ τούτων παρέλκει· τοῦ ἕλκε δ' ὁμοῦ καὶ νευρὴν μὲν μαζῷ πέλασε συνίστησι τὴν ἔκτασιν ἐγγενομένην· εἶτα ἑξῆς λέγει ἐπεὶ δὴ ἐντάθη καὶ κυκλοτερὲς ἐγένετο ἀπέπαλτο τὸ βέλος:-
ἐπιπτέσθαι: παροξυτόνητέον ἐστὶ χρόνος δεύτερος ἀόριστος ὁ μοῖος τῷ ἐπί τε ἀμοῦντοι ἀποσχέσθαι καὶ τὸ ἀπὸ αὐτοῦ ἐπιπτέσθαι· παρὰ δὲ ἀπαρέμφατον συντιθέμενον φυλάσσει τὸν αὐτὸν τόνον:-
ἀθάνατοι: βραχὺ διασταλτέον ἔστι τὸ ἀθάνατοι κοινὸν γὰρ ἐστὶ τὸ ἑξῆς τὸ ὑπὲρ καλόν:-

τοῦ κέρα ἐκ κεφαλῆς ἑκκαιδεκάδωρα πεφύκει·
καὶ τὰ μὲν ἀσκήσας κεραοξόος ἤραρε τέκτων·
πᾶν δ' εὖ λειήνας χρυσέην ἐπέθηκε κορώνην.
καὶ τὸ μὲν εὖ κατέθηκε τανυσσάμενος ποτὶ γαίῃ
ἀγκλίνας· πρόσθεν δὲ σάκεα σχέθον ἐσθλοὶ ἑταῖροι·
μὴ πρὶν ἀναΐξειαν ἀρήϊοι υἷες Ἀχαιῶν.
πρὶν βλῆσθαι Μενέλαον ἀρήϊον Ἀτρέος υἱόν·
αὐτὰρ ὁ σύλα πῶμα φαρέτρης· ἐκ δ' ἕλετ' ἰὸν
ἀβλῆτα πτερόεντα· μελαινέων ἕρμ' ὀδυνάων·
αἶψα δ' ἐπὶ νευρῇ κατεκόσμει πικρὸν ὀϊστόν·
εὔχετο δ' Ἀπόλλωνι λυκηγενέϊ κλυτοτόξῳ·
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην
οἴκαδε νοστήσας, ἱερῆς ἐς ἄστυ Ζελείης.
ἕλκε δ' ὁμοῦ γλυφίδας τε λαβὼν καὶ νεῦρα βόεια·
νευρὴν μὲν μαζῷ πέλασεν· τόξῳ δὲ σίδηρον·
αὐτὰρ ἐπειδὴ κυκλοτερὲς μέγα τόξον ἔτεινε.
λίγξε βιός· νευρὴ δὲ μέγ' ἴαχεν· ἆλτο δ' ὀϊστὸς
ὀξυβελὴς καθ' ὅμιλον ἐπιπτέσθαι μενεαίνων·
οὐδὲ σέθεν Μενέλαε θεοὶ μάκαρες λελάθοντο
ἀθάνατοι· πρώτη δὲ Διὸς θυγάτηρ ἀγελείη·
ἥ τοι πρόσθε στᾶσα βέλος ἐχεπευκὲς ἄμυνεν·
ἣ δὲ τόσον μὲν ἔεργεν ἀπὸ χροός, ὡς ὅτε μήτηρ
παιδὸς ἐέργῃ μυῖαν, ὅθ' ἡδέϊ λέξεται ὕπνῳ·
αὐτὴ δ' αὖτ' ἴθυνεν ὅθι ζωστῆρος ὀχῆες
χρύσειοι σύνεχον· καὶ διπλόος ἤντετο θώρηξ·

χρύσειοι σύνεχον: ὅτι καθ' ἓν τὸ περίζωμα ... θώραξ καθ' ὑπομνήματα τῷ στατῷ θώρακι τὸ λοιπὸν μὲν ζῶμα καθήκον μέχρι τῶν γονάτων ἀπὸ τῶν λαγόνων +

† διὰ μὲν ἂρ ζωστῆρος: πρῶτος ὁ πλισμός· πρῶτος γὰρ ἐστὶ πρὸ τοῦ θώρακος ὁ ζωστὴρ καὶ κατὰ τοῦ [illegible] καὶ κατὰ τοὺς ὤμους ἀμφότερα δὲ τοῦ θώρακος καλεῖ [illegible] τοῦ δὲ τέρου μνησθεὶς τὸ ἕτερον παραλείπει [illegible] καὶ κεῖται [illegible] ἡ μίτρα:- μίτρης θ' ἣν ἐφόρει ἔρυμα: ἡ ζηνοδότου καὶ ἀριστοφάνους [illegible] εἶχον [illegible]:-

ἣ οἱ πλεῖστον ἔρυτο: ἡ διπλῆ πρὸς τὸ ζητούμενον [illegible] ἔστι τῆς χαλκέας ἀσπίδος [illegible] καὶ ἡ μακρὰ [illegible] φορὰν τοῦ δόρατος [illegible] ἐστὶ τῆς μίτρας [illegible] τὸ δὲ ἔρυτο [illegible] καὶ προπαροξύνεται [illegible] καὶ ἔστι [illegible] ἡ παράδοσις [illegible] ἔρυτο:-

αὐτίκα δ' ἔρρεεν αἷμα: ἀθετεῖται ὅτι [illegible] τὸ ἐκ [illegible] τραῦμα [illegible] τοῦ τραύματος:-

ἐν δ' ἔπεσε ζωστῆρι ἀρηρότι πικρὸς ὀϊστός·
διὰ μὲν ἂρ ζωστῆρος ἐλήλατο δαιδαλέοιο·
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο·
μίτρης θ' ἣν ἐφόρει ἔρυμα χροὸς ἕρκος ἀκόντων·
ἣ οἱ πλεῖστον ἔρυτο· διαπρὸ δὲ εἴσατο καὶ τῆς·
ἀκρότατον δ' ἄρ' ὀϊστὸς ἐπέγραψε χρόα φωτός·
αὐτίκα δ' ἔρρεεν αἷμα κελαινεφὲς ἐξ ὠτειλῆς·
ὡς δ' ὅτε τίς τ' ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ·
μιονὶς ἠὲ κάειρα· παρήϊον ἔμμεναι ἵππων·
κεῖται δ' ἐν θαλάμῳ· πολέες τέ μιν ἠρήσαντο
ἱππῆες φορέειν· βασιλῆϊ δὲ κεῖται ἄγαλμα·
ἀμφότερον κόσμός θ' ἵππῳ ἐλατῆρί τε κῦδος·
τοῖοί τοι μενέλαε μιάνθην αἵματι μηροὶ
εὐφυέες· κνῆμαί τε ἰδὲ σφυρὰ κάλ' ὑπένερθε·
ῥίγησεν δ' ἄρ' ἔπειτα ἄναξ ἀνδρῶν ἀγαμέμνων
ὡς εἶδεν μέλαν αἷμα καταρρέον ἐξ ὠτειλῆς·
ῥίγησεν δὲ καὶ αὐτὸς ἀρηΐφιλος μενέλαος·
ὡς δὲ ἴδεν νεῦρόν τε καὶ ὄγκους ἐκτὸς ἐόντας
ἄψορρόν οἱ θυμὸς ἐνὶ στήθεσσιν ἀγέρθη·
τοῖς δὲ βαρὺ στενάχων μετέφη κρείων ἀγαμέμνων·
χειρὸς ἔχων μενέλαον· ἐπεστενάχοντο δ' ἑταῖροι·
φίλε κασίγνητε· θάνατόν νύ τοι ὅρκι' ἔταμνον·
οἶον προστήσας πρὸ ἀχαιῶν τρωσὶ μάχεσθαι·
ὥς σ' ἔβαλον τρῶες· κατὰ δ' ὅρκια πιστὰ πάτησαν·
οὐ μέν πως ἅλιον πέλει ὅρκιον αἷμά τε ἀρνῶν·

ὡς δ' ὅτε τίς τ' ἐλέφαντα: [illegible] ἐλέφαντας [illegible] ἐλέφαντα:-

ἔμμεναι ἵππων: [illegible]

ἀκρότατον δ' ἄρ': ἡ διπλῆ ὅτι ζηνόδοτος γράφει [illegible]

ἠὲ κάειρα: καρίνη [illegible]

σφυρά: [illegible]

ὡς δὲ ἴδεν: [illegible]

οὐ μέν πως: γενναίου στρατηγοῦ τὸ μὴ [illegible] τοῖς καιροῖς ἀλλ' ἔχειν δὲ εἰς [illegible] ἐλπίδα καὶ τὸ σύμπτωμα τῆς τύχης εἰς παραμυθίαν [illegible] +

σπονδαί τ' ἄκρητοι: ὅτι εὖ κρίνεται ... [illegible] ... οὐ γὰρ κεκέρασμεν [illegible]:—
ἔκ τε καὶ ὀψὲ τελεῖ: ὅτι Ζηνόδοτος γράφει τελεῖ καὶ σύν τε μεγάλῳ ἀπέτισαν. ἐπὶ τῶν [illegible] λόγον οὐκ [illegible] οὕτως ἅμα καὶ [illegible] ἐπὶ τῶν παραβαινόντων τὰ ὅρκια:— ἔσσεται ἦμαρ, ἀπαρχὴ [illegible] τοῦτο διὸ τελείαν [illegible] πρὸς αὐτῆς [illegible] ὁ λόγος:— ὑψίζυγος ἡ μεταφορὰ ἀπὸ τῶν [illegible] ζυγῶν [illegible] καθέζονται οἱ ἐρέσσοντες [illegible] ζυγοστατῶν καὶ ἀπονέμων [illegible] τὸ πεπρωμένον:— ἐρεμνὴν αἰγίδα: ὅτι τοῦ Διὸς ὅπλον ἡ αἰγὶς [illegible] ποιητὰς καὶ ὅτι κατ' αἰγίδος καὶ φόβου κατασκευάζεται παρασκευάσαι [illegible]:— καὶ μοῖραν ἀναπλήσῃς: ὅτι πότμον Ἀρίσταρχος, οὐ μοῖραν ὡς [illegible] κοινῶς:—

πολυδίψιον ἄνυδρον· οὖσαν γὰρ αὐτὴν ποτὲ ἄνυδρον ἐποίησε Δαναὸς [illegible] ἀποτίσαι [illegible] καὶ οἰκῆσαι ... τῶν γὰρ θυγατέρων αὐτοῦ ζητεῖν [illegible] μιᾶς αὐτῶν τῆς Ἀμυμώνης ἠράσθη Ποσειδῶν· καὶ [illegible] τῇ τριαίνῃ πλήξας τὰς [illegible] πηγάς· οἱ δὲ οὕτως· ὅτι ἀθηναῖος ὑποθήκαις, πολυδίψιον τὸ Ἄργος πρότερον ὑπάρχον [illegible] γενέσθαι διὰ τῶν Δαναοῦ θυγατέρων ἐποίησε. ἐκεῖναι γὰρ ὀρύξασαι φρέατα [illegible] [illegible] τὸν αἰγύπτιον ἐπὶ τὸν τοῦ Δαναοῦ θυγατέρων γάμον [illegible] κατὰ τὰς τοῦ πρὸς ὑποθήκας [illegible] αὐτούς. ἐκεῖναι γὰρ αὐτοὺς [illegible] παρθενίαν ἀφαιρουμένας ἀναμάσθαι· ὑπὲρ μὲν [illegible] [illegible] καὶ [illegible] καὶ γὰρ ἐκεῖναι αὐτὴν παρθενίαν [illegible] καὶ [illegible] ὕστερον [illegible] πολυδίψιον οὖν ἤτοι πολὺ [illegible] πολὺ [illegible] μεταφορικῶς ἀπὸ τῶν διψώντων καὶ ἐπιθυμούντων [illegible] ἄνυδρον [illegible] ἀπὸ τοῦ ἰκνον:—
Ἀργείην Ἑλένην: ὅτι τὸν ἐπιζεύγνυσ[illegible] τῶν οὐ καταπεκομίζετο [illegible] εἰς πατρίδας. οὐ καὶ [illegible] [illegible] ὅσοι [illegible] [illegible] οἱ καθ' ἐκεῖ [illegible] [illegible]:—
καί κέ τις ὧδ' ἐρέει: [illegible] ὅτι τὸ κε [illegible] ἀντὶ τοῦ εἴποι ἄν:—
σὺν κεινῇσι νηυσί: κεναῖς [illegible] ὅτι [illegible] Μενελάου ἀποθανόντος [illegible] ἐν αὐταῖς [illegible] ἐπὶ τὰς νηυσίν:—
εὐρεῖα χθών: ὅτι οὐ [illegible] ἐπιθετον [illegible] εὐρεῖα [illegible] [illegible] εὐρυνομένη. οἷον εὐρὺ [illegible]

σπονδαί τ' ἄκρητοι καὶ δεξιαὶ ᾗς ἐπέπιθμεν.
εἴπερ γάρ τε καὶ αὐτίκ' Ὀλύμπιος οὐκ ἐτέλεσσεν,
ἔκ τε καὶ ὀψὲ τελεῖ· σύν τε μεγάλῳ ἀπέτισαν,
σὺν σφῇσιν κεφαλῇσι γυναιξί τε καὶ τεκέεσσιν.
εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν·
ἔσσεται ἦμαρ, ὅτ' ἄν ποτ' ὀλώλῃ Ἴλιος ἱρή,
καὶ Πρίαμος, καὶ λαὸς ἐϋμμελίω Πριάμοιο·
Ζεὺς δέ σφι Κρονίδης ὑψίζυγος, αἰθέρι ναίων,
αὐτὸς ἐπισσείῃσιν ἐρεμνὴν αἰγίδα πᾶσι,
τῆσδ' ἀπάτης κοτέων. τὰ μὲν ἔσσεται οὐκ ἀτέλεστα.
ἀλλά μοι αἰνὸν ἄχος σέθεν ἔσσεται, ὦ Μενέλαε,
αἴ κε θάνῃς, καὶ μοῖραν ἀναπλήσῃς βιότοιο.
καί κεν ἐλέγχιστος πολυδίψιον Ἄργος ἱκοίμην.
αὐτίκα γὰρ μνήσονται Ἀχαιοὶ πατρίδος αἴης·
κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωσὶ λίποιμεν
Ἀργείην Ἑλένην· σέο δ' ὀστέα πύσει ἄρουρα
κειμένου ἐν Τροίῃ, ἀτελευτήτῳ ἐπὶ ἔργῳ.
καί κέ τις ὧδ' ἐρέει Τρώων ὑπερηνορεόντων,
τύμβῳ ἐπιθρώσκων Μενελάου κυδαλίμοιο·
αἴθ' οὕτως ἐπὶ πᾶσι χόλον τελέσει' Ἀγαμέμνων,
ὡς καὶ νῦν ἅλιον στρατὸν ἤγαγεν ἐνθάδ' Ἀχαιῶν·
καὶ δὴ ἔβη οἶκόνδε, φίλην ἐς πατρίδα γαῖαν,
σὺν κεινῇσιν νηυσί, λιπὼν ἀγαθὸν Μενέλαον.
ὥς ποτέ τις ἐρέει· τότε μοι χάνοι εὐρεῖα χθών.
τὸν δ' ἐπιθαρσύνων προσέφη ξανθὸς Μενέλαος·

ζῶμά τε καὶ μίτρη· ὅτι τὸ ζῶμα οἱ μὲν νεώτεροι παραλαμβάνουσι τὸν θώρακα ὡς ἀπὸ μέρους τὸ ὅλον [illegible] τῷ θώρακι· καὶ ζῶμα [illegible] ἡ δὲ μίτρα τοῦτο [illegible]

φάρμαχ' ἅ κεν: [illegible] φάρμακα [illegible]

φάρμακα [illegible] τρεῖς [illegible] ἐπὶ Μενελάου [illegible]

ἐπιμάσσεται: [illegible] ἀφ' οὗ καὶ ὁ μάσσος καὶ ἡ μάταξ :–

ὄφρα ἴδῃ Μενέλαον: ὁ ἀστερίσκος καὶ ὁ ὀβελὸς ὅτι νῦν παρέλκει [illegible] ὁ κῆρυξ [illegible] Μαχάονι· Μαχάων δὲ οὗτος υἱὸς Ἀσκληπιοῦ καὶ ἄριστος [illegible] καταδέχεται [illegible] ἢ παρὰ μέρος ποιεῖ [illegible]

θάρσει· μηδέ τί πω δειδίσσεο λαὸν Ἀχαιῶν·
οὐκ ἐν καιρίῳ ὀξὺ πάγη βέλος· ἀλλὰ πάροιθεν
εἰρύσατο ζωστήρ τε παναίολος· ἠδ' ὑπένερθε
※ ζῶμά τε καὶ μίτρη· τὴν χαλκῆες κάμον ἄνδρες·
τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·
αἲ γὰρ δὴ οὕτως εἴη φίλος ὦ Μενέλαε·
ἕλκος δ' ἰητὴρ ἐπιμάσσεται· ἠδ' ἐπιθήσει
> φάρμαχ' ἅ κεν παύσῃσι μελαινάων ὀδυνάων·
ἦ καὶ Ταλθύβιον θεῖον κήρυκα προσηύδα·
Ταλθύβι' ὅττι τάχιστα Μαχάονα δεῦρο κάλεσσον
φῶτ' Ἀσκληπιοῦ υἱὸν ἀμύμονος ἰητῆρος·
※– ὄφρα ἴδῃ Μενέλαον ἀρήϊον Ἀτρέος υἱόν·
※ ὅν τις ὀϊστεύσας ἔβαλεν τόξων ἐῢ εἰδὼς
※– Τρώων ἢ Λυκίων· τῷ μὲν κλέος ἄμμι δὲ πένθος·
ὣς ἔφατ'· οὐδ' ἄρα οἱ κῆρυξ ἀπίθησεν ἀκούσας·
βῆ δ' ἰέναι κατὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων·
παπταίνων ἥρωα Μαχάονα· τὸν δὲ νόησεν
ἑσταότ'· ἀμφὶ δέ μιν κρατεραὶ στίχες ἀσπιστάων
λαῶν· οἵ οἱ ἕποντο Τρίκκης ἐξ ἱπποβότοιο·
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
ὄρσ' Ἀσκληπιάδη· καλέει κρείων Ἀγαμέμνων·
※ ὄφρα ἴδῃς Μενέλαον ἀρήϊον· ἀρχὸν Ἀχαιῶν·
> ὅν τις ὀϊστεύσας· ἔβαλεν τόξων ἐῢ εἰδὼς
Τρώων ἢ Λυκίων· τῷ μὲν κλέος· ἄμμι δὲ πένθος·
> ὣς φάτο· τῷ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε·

παπταίνων: [illegible] καὶ κατὰ [illegible] πανταχόθεν περιβλεπόμενος :–

ὄφρα ἴδῃ Μενέλαον: ὁ ἀστερίσκος ὅτι νῦν δεόντως λέγεται πρὸς Μαχάονα ὑπὸ τοῦ κήρυκος :–

ὅν τις ὀϊστεύσας: ἡ διπλῆ ὅτι [illegible] ἔφασεν [illegible] ἔρρεεν αἷμα κελαινεφὲς ἐξ ὠτειλῆς.

ἄμμι δὲ πένθος: ἑκάτερον καθ' ἑαυτὸ λείπει γὰρ τὸ ἐστὶν ἐν ἀμφοτέροις :–

ὣς φάτο: ἡ διπλῆ [illegible] ἀντὶ τοῦ κατὰ ψυχὴν ἐκίνησεν. ἡ δὲ ἀναφορὰ πρὸς τὸ ὣς φάτο τῷ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν· ὅτι οὐ [illegible] ὡς [illegible] ἐφεξῆς εἴκοσι [illegible] ἀντὶ τοῦ ἐκίνησε καὶ παρώρμησε κατὰ τὸ ἐρωτικόν.

[illegible]

βὰν δ' ἰέναι κατ' ὅμιλον· ἀνὰ στρατὸν εὐρὺν Ἀχαιῶν.
ἀλλ' ὅτε δή ῥ' ἵκανον ὅθι ξανθὸς Μενέλαος
βλήμενος ἦν· περὶ δ' αὐτὸν ἀγηγέραθ' ὅσσοι ἄριστοι
κυκλόσ'· ὁ δ' ἐν μέσσοισι παρίστατο ἰσόθεος φώς.
αὐτίκα δ' ἐκ ζωστῆρος ἀρηρότος εἷλκεν ὀϊστόν.
τοῦ δ' ἐξελκομένοιο πάλιν ἄγεν ὀξέες ὄγκοι.
λῦσε δέ οἱ ζωστῆρα παναίολον· ἠδ' ὑπένερθε
> ζῶμά τε καὶ μίτρην, τὴν χαλκῆες κάμον ἄνδρες.
αὐτὰρ ἐπεὶ ἴδεν ἕλκος ὅθ' ἔμπεσε πικρὸς ὀϊστός.
αἷμ' ἐκμυζήσας, ἐπ' ἄρ' ἤπια φάρμακα εἰδὼς
πάσσε, τά οἵ ποτε πατρὶ φίλα φρονέων πόρε Χείρων.
ὄφρα τοὶ ἀμφεπένοντο βοὴν ἀγαθὸν Μενέλαον.
τόφρα δ' ἐπὶ Τρώων στίχες ἤλυθον ἀσπιστάων.
οἳ δ' αὖτις κατὰ τεύχε' ἔδυν· μνήσαντο δὲ χάρμης.
ἔνθ' οὐκ ἂν βρίζοντα ἴδοις Ἀγαμέμνονα δῖον
οὐδὲ καταπτώσσοντ'· οὐδ' οὐκ ἐθέλοντα μάχεσθαι.
ἀλλὰ μάλα σπεύδοντα μάχην ἐς κυδιάνειραν.
> ἵππους μὲν γὰρ ἔασε καὶ ἅρματα ποικίλα χαλκῷ.
καὶ τοὺς μὲν θεράπων ἀπάνευθ' ἔχε φυσιόωντας
> Εὐρυμέδων υἱὸς Πτολεμαίου Πειραΐδαο.
τῷ μάλα πόλλ' ἐπέτελλε παρισχέμεν, ὁππότε κέν μιν
γυῖα λάβῃ κάματος, πολέας διακοιρανέοντα.
αὐτὰρ ὁ πεζὸς ἐὼν ἐπεπωλεῖτο στίχας ἀνδρῶν.
> καί ῥ' οὓς μὲν σπεύδοντας ἴδοι Δαναῶν ταχυπώλων.
τοὺς μάλα θαρσύνεσκε παριστάμενος ἐπέεσσιν.

τοῦ δ' ἐξελκομένοιο πάλιν ἄγεν: [illegible]

ζῶμα: [illegible]

τεύχε' ἔδυν: [illegible]

ἔνθ' οὐκ ἂν: [illegible]

εὐρυμέδων: [illegible]

χείρων: [illegible]

χάρμης: [illegible]

βρίζοντα: [illegible]

† οὐ γὰρ ἐπὶ ψευδέσσι· ἀρίσταρχος [illegible]

ἀργεῖοι μή πώ τι μεθίετε θούριδος ἀλκῆς·
οὐ γὰρ ἐπὶ ψευδέσσι πατὴρ ζεὺς ἔσσετ' ἀρωγός·
ἀλλ' οἵ περ πρότεροι ὑπὲρ ὅρκια δηλήσαντο·
τῶν ἤτοι αὐτῶν τέρενα χρόα γῦπες ἔδονται·
ἡμεῖς δ' αὖτ' ἀλόχους τε φίλας καὶ νήπια τέκνα
ἄξομεν ἐν νήεσσιν· ἐπὴν πτολίεθρον ἕλωμεν·
οὕς τινας αὖ μεθιέντας ἴδοι στυγεροῦ πολέμοιο·
τοὺς μάλα νεικείεσκε χολωτοῖσιν ἐπέεσσιν·
ἀργεῖοι ἰόμωροι· ἐλεγχέες· οὔ νυ σέβεσθε·
τίφθ' οὕτως ἔστητε, τεθηπότες ἠΰτε νεβροί·
αἵ τ' ἐπεὶ οὖν ἔκαμον πολέος πεδίοιο θέουσαι
ἑστᾶσ'· οὐδ' ἄρα τίς σφι μετὰ φρεσὶ γίγνεται ἀλκή·
ὣς ὑμεῖς ἔστητε, τεθηπότες· οὐδὲ μάχεσθε·
ἦ μένετε τρῶας σχεδὸν ἐλθέμεν· ἔνθά τε νῆες
εἰρύατ' εὔπρυμνοι πολιῆς ἐπὶ θινὶ θαλάσσης·
ὄφρα ἴδητ' αἴ κ' ὔμμιν ὑπέρσχῃ χεῖρα κρονίων·
ὣς ὅ γε κοιρανέων ἐπεπωλεῖτο στίχας ἀνδρῶν·
ἦλθε δ' ἐπὶ κρήτεσσι· κιὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν·
οἳ δ' ἀμφ' ἰδομενῆα δαΐφρονα θωρήσσοντο·
ἰδομενεὺς μὲν ἐνὶ προμάχοις, συῒ εἴκελος ἀλκήν·
μηριόνης δ' ἄρα οἱ πυμάτας ὄτρυνε φάλαγγας·
τοὺς δὲ ἰδὼν γήθησεν ἄναξ ἀνδρῶν ἀγαμέμνων·
αὐτίκα δ' ἰδομενῆα προσηύδα μειλιχίοισιν·
ἰδομενεῦ· περὶ μέν σε τίω δαναῶν ταχυπώλων·
ἠμὲν ἐνὶ πτολέμῳ· ἠδ' ἀλλοίῳ ἐπὶ ἔργῳ·

αἵ τ' ἐπεὶ οὖν: [illegible]

ἀνὰ οὐλαμὸν ἀνδρῶν· ἀνὰ τὸν θόρυβον [illegible]

φάλαγγας: [illegible]

ἰδομενεὺς μὲν [illegible]

δαιτρὸν πίνωσιν: ὅτι διαπαντὸς αἱ τράπεζαι παρέκειντο καὶ πλήρη τὰ ποτήρια τοῖς ἐντίμοις ἔκειτο· τοῖς δὲ ἄλλοις πρὸς μέρος ἐνεχεῖτο. ἐπεὶ σὺν ὅρκι' ἔχευαν: διὰ τοῦ σὺν ὅρκια, οὐχ [illegible] μετὰ ὅρκου [illegible]

ἠδ' ἐν δαιτὶ· ὅτε πέρ τε γερούσιον αἴθοπα οἶνον
ἀργείων οἱ ἄριστοι ἐνὶ κρητῆρσι κέρωνται·
εἴ περ γάρ τ' ἄλλοι γε κάρη κομόωντες ἀχαιοὶ
δαιτρὸν πίνωσιν· σὸν δὲ πλεῖον δέπας αἰεὶ
ἕστηχ', ὥσπερ ἐμοὶ, πιέειν, ὅτε θυμὸς ἀνώγοι·
ἀλλ' ὄρσευ πόλεμονδ' οἷος πάρος εὔχεαι εἶναι.
τὸν δ' αὖτ' ἰδομενεὺς κρητῶν ἀγὸς ἀντίον ηὔδα·
ἀτρεΐδη, μάλα μέν τοι ἐγὼν ἐρίηρος ἑταῖρος
ἔσσομαι, ὡς τὸ πρῶτον ὑπέστην καὶ κατένευσα·
ἀλλ' ἄλλους ὄτρυνε κάρη κομόωντας ἀχαιοὺς
ὄφρα τάχιστα μαχώμεθ', ἐπεὶ σύν γ' ὅρκι' ἔχευαν
τρῶες· τοῖσιν δ' αὖ θάνατος καὶ κήδε' ὀπίσσω
ἔσσετ', ἐπεὶ πρότεροι ὑπὲρ ὅρκια δηλήσαντο.
ὣς ἔφατ'· ἀτρεΐδης δὲ παρῴχετο γηθόσυνος κῆρ·
ἦλθε δ' ἐπ' αἰάντεσσι κιὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν.
τὼ δὲ κορυσσέσθην· ἅμα δὲ νέφος εἵπετο πεζῶν.
ὡς δ' ὅτ' ἀπὸ σκοπιῆς εἶδεν νέφος αἰπόλος ἀνὴρ
ἐρχόμενον κατὰ πόντον ὑπὸ ζεφύροιο ἰωῆς·
τῷ δέ τ' ἄνευθεν ἐόντι, μελάντερον ἠΰτε πίσσα
φαίνετ' ἰὸν κατὰ πόντον, ἄγει δέ τε λαίλαπα πολλήν.
ῥίγησέν τε ἰδὼν, ὑπό τε σπέος ἤλασε μῆλα.
τοῖαι ἅμ' αἰάντεσσι διοτρεφέων αἰζηῶν
δήϊον ἐς πόλεμον πυκιναὶ κίνυντο φάλαγγες.
κυάνεαι σάκεσίν τε καὶ ἔγχεσι πεφρικυῖαι.
καὶ τοὺς μὲν γήθησεν ἰδὼν κρείων ἀγαμέμνων.

ἦλθε δ' ἐπ' αἰάντεσσιν: ὅτι ἡ τάξις ἰδομενέως πλησίον αἴαντος· προσιὼν ὑπεισάγοντας τοῖς ἀθηναίοις τὸν μὲν λαμώνιον:

τῷ δέ τ' ἄνευθεν ἐόντι: ὅτι ἰδίως εἴρηκεν οὔτε μελάντερον πίσσης οὔτε μέλανος πίσσα· κέχρηται δὲ τῷ συγκριτικῷ ἀντὶ ἀπλοῦ. τὸ δὲ ἐόντι ἀρίσταρχος διὰ τοῦ ε, ὁ δὲ ζηνόδοτος διὰ τοῦ ι. [illegible] μελάντερον ἔσται [illegible] ἀρχῆς [illegible] πίσσα [illegible] διὰ τὸ [illegible] μελάντερον [illegible] καὶ ὁ μὴ πίσση:

ζέφυρος: ὅτι [illegible] ζόφον [illegible] οἱ ἀρχαῖοι:

ῥίγησέν τε ἰδών: [illegible]

μελάντερον ἠΰτε πίσσα: τὸ πυκνὸν καὶ καταπληκτικὸν τῆς φάλαγγος [illegible] μέλανι καὶ [illegible] νέφει· ἀπὸ δὲ τῆς μεταφορᾶς καὶ εἰκόνα πεποίηκεν: [illegible] τοῦ μέλανος νέφους πρὸς τὸ

κυάνεαι: ὅτι ζηνόδοτος γράφει ἠερόεν σάκεσιν [illegible] τοῦτο δὲ οἷον πυκναὶ [illegible] καταπληκτικαὶ οὖσαι. τοῖς δὲ δόρασι πεφρικυῖαι [illegible] ἔχουσαι τὰ δὲ [illegible]

ἡγήτορε: τοῦτο προτρεπτικόν. οἱ πρόμαχοι καὶ ἡγούμενοι τῶν ἄλλων Ἑλλήνων ἐν ταῖς μάχαις :-

σφῶϊ μέν: διαστολὴ ἐπὶ τὸ μέν· ἐπὶ δὲ τὸ ὀτρυνέμεν ἀμφίκειται :-

Καὶ σφέας φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Αἴαντ᾽ Ἀργείων ἡγήτορε χαλκοχιτώνων,
σφῶϊ μέν, οὐ γὰρ ἔοικ᾽ ὀτρυνέμεν, οὔ τι κελεύω·
αὐτὼ γὰρ μάλα λαὸν ἀνώγετον ἶφι μάχεσθαι.
αἲ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον
τοῖος πᾶσιν θυμὸς ἐνὶ στήθεσσι γένοιτο·
τώ κε τάχ᾽ ἠμύσειε πόλις Πριάμοιο ἄνακτος
χερσὶν ὑφ᾽ ἡμετέρῃσιν ἁλοῦσά τε περθομένη τε.
ὣς εἰπὼν τοὺς μὲν λίπεν αὐτοῦ· ᾔε δὲ μετ᾽ ἄλλους·
ἔνθ᾽ ὅ γε Νέστορ᾽ ἔτετμε, λιγὺν Πυλίων ἀγορητήν,
οὓς ἑτάρους στέλλοντα καὶ ὀτρύνοντα μάχεσθαι,
ἀμφὶ μέγαν Πελάγοντα Ἀλάστορά τε Χρομίον τε
Αἵμονά τε κρείοντα Βίαντά τε ποιμένα λαῶν·
ἱππῆας μὲν πρῶτα σὺν ἵπποισιν καὶ ὄχεσφιν,
πεζοὺς δ᾽ ἐξόπιθεν στῆσεν πολέας τε καὶ ἐσθλούς,
ἕρκος ἔμεν πολέμοιο· κακοὺς δ᾽ ἐς μέσσον ἔλασσεν,
ὄφρα καὶ οὐκ ἐθέλων τις ἀναγκαίῃ πολεμίζοι.
ἱππεῦσιν μὲν πρῶτ᾽ ἐπετέλλετο· τοῖς μὲν ἀνώγει
σφοὺς ἵππους ἐχέμεν, μηδὲ κλονέεσθαι ὁμίλῳ·
μηδέ τις ἱπποσύνῃ τε καὶ ἠνορέηφι πεποιθὼς
οἶος πρόσθ᾽ ἄλλων μεμάτω Τρώεσσι μάχεσθαι·
μηδ᾽ ἀναχωρείτω· ἀλαπαδνότεροι γὰρ ἔσεσθε.
ὃς δέ κ᾽ ἀνὴρ ἀπὸ ὧν ὀχέων ἕτερ᾽ ἅρμαθ᾽ ἵκηται,
ἔγχει ὀρεξάσθω, ἐπεὶ ἦ πολὺ φέρτερον οὕτω.
ὧδε καὶ οἱ πρότεροι πόλεας καὶ τείχε᾽ ἐπόρθεον.

ἀμφὶ μέγαν Πελάγοντα: ὅτι τριττοὶ οὗτοι Χρομίοι· Πύλιος, πρὸς τῷ Πυλαιμένους· οὗτοι δὲ ταξίαρχαι ὑπὲρ χιλίων· βασιλεὺς δὲ πάντων τῶν Πυλίων Νέστωρ :-
ἱππῆας μὲν πρῶτα: πρὸς τοὺς εἰκῇ εἰρῆσθαι· τοῖς ἐπὶ τοῦ δεξιοῦ κέρως [illegible]. ὄπισθεν δὲ τοὺς ἐπὶ τοῦ ἀεὶ ἀσχάτου, τοὺς μεταξὺ τετάχθαι τοὺς δειλούς. οὕτω γὰρ λόγον ἔχει τὸ ὄφρα καὶ οὐκ ἐθέλων τις ἀναγκαίῃ πολεμίζοι. ἐπεὶ γὰρ μέσοι που τάσσονται φυγεῖν οὐ καταλαμβάνονται· μεταξὺ δὲ ἄλλων [illegible] ἐναποκλεισθέντες :-
πολὺ φέρτερον: κατὰ πολὺ κρεῖττον τοῦτο τὸ χρῆμα, καταστῆναι ἀντιμάχεσθαι. καὶ οἱ μὲν φασὶ μὴ παρελθεῖν ἄλλον ἵνα ἐς ἑκάτερον πολεμίου ἅρματος καὶ ἐπὶ τοῦ πλησίον παραγενέσθαι μὴ τῷ ἡνιόχῳ· τὸ δ᾽ αὐτὸ εἶναι ἐν ἀμφοῖν τοῦ ἀθροῦς τῶν ἵππων δ᾽ ἐστὶ δὲ μᾶλλον ἀκοντίζεσθαι τὸ ἀπὸ πολεμίους ὅτι πολεμῶσι :-

[illegible]

πόλιας

+ ἔγχει ὀρεξάσθω: ἡ διπλῆ πρὸς τὸ σημαινόμενον ὅτι ἐκ τοῦ ἔγχει ὀρέξασθαι ἐστὶν ἐκ πεταξάτω τις αὐτὸν ἐφ᾽ [illegible] τὸ τις καὶ τὸ αὐτόν. καὶ τὸ ἐπιλεγόμενον τοῦτο σημαίνει ἐπεὶ ἦ πολὺ φέρτερον οὕτω τὸ ἐν τάξει μάχεσθαι ἢ τὴν ὅλην τάξιν συγχυθῆναι :-
πόλεας: οὕτως Ἀρίσταρχος προπαροξυτόνως καὶ ἔστι τῶν πόλεων τὸ σημαινόμενον ἡ διαφορὰ [illegible] καὶ ὁ Ἀσκαλωνίτης πόλεων ὅτι καὶ διὰ τοῦ ε· οἱ δὲ νεώτεροι ποιηταὶ [illegible] διὰ τοῦ ι [illegible] πολλοὶ [illegible]. διὰ δὲ τοῦ ε πόλεως χρῶνται. ἑκατὸν πόλεων [illegible] ἐνταῦθα ἐπὶ τῶν πόλεων τὸ σημαινόμενον ἐπεὶ καὶ τείχεα ἐπιφέρει :-

ὣς ὁ γέρων ὤτρυνε· τοῦτο ὁ ποιητὴς λέγει καθ' ἑαυτὸν οὐ προσέκειτο μὲν γὰρ τοῖς μίαν ὁμοιωματικῶς [illegible] οἱ πρότεροι. τὸν δὲ νόον καὶ θυμὸν ὡς ὁ γέρων ὤτρυνε, οἷον τοῦτον τὸν τρόπον στρατηγοῦσι παλαιοὶ ὡς ὁ Νέστωρ [illegible] εἶναι τὸ διανόημα· οὐ δεῖ [illegible] τοιαύτην ὁ ποιητὴς ἀπὸ τοῦ προσώπου ποιεῖται:-

ὁμοίιον: [illegible] ὁ ποιητὴς πανταχοῦ τὸ ὁμοίιον ἐπὶ τοῦ φαύλου λαμβάνει οἷον ὡς ἐν τούτῳ ἀλλά σε γῆρας τείρει ὁμοίιον· καὶ [illegible] θάνατον μὲν ὁμοίιον οὐδὲ θεοὶ περ καὶ μὲν φίλῳ [illegible] ὁμοίιον πολέμοιο:.

κατέκταν: [illegible] ὄρος ἀλκαῖον· Νέστορα δὲ μονομαχήσαντα [illegible] ὥς τινες [illegible] καὶ ὑπὸ χαρᾶς τὸ περὶ [illegible] χωρίον [illegible] τοῦ [illegible] τοῖς [illegible]

[illegible marginal scholia]

τὸν δὲ νόον καὶ θυμὸν ἐνὶ στήθεσσιν ἔχοντες.
ὣς ὁ γέρων ὤτρυνε πάλαι πολέμων ἐὺ εἰδώς:
καὶ τὸν μὲν γήθησεν ἰδὼν κρείων Ἀγαμέμνων·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
ὦ γέρον· εἴθ' ὡς θυμὸς ἐνὶ στήθεσσι φίλοισιν.
ὥς τοι γούνατ' ἕποιτο, βίη δέ τοι ἔμπεδος εἴη.
ἀλλά σε γῆρας τείρει ὁμοίιον· ὡς ὄφελέν τις
ἀνδρῶν ἄλλος ἔχειν· σὺ δὲ κουροτέροισι μετεῖναι.
τὸν δ' ἠμείβετ' ἔπειτα γερήνιος ἱππότα Νέστωρ·
Ἀτρεΐδη· μάλα μέν τοι ἐγὼν ἐθέλοιμι καὶ αὐτὸς
ὣς ἔμεν· ὡς ὅτε δῖον Ἐρευθαλίωνα κατέκταν.
ἀλλ' οὔ πως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν.
εἰ τότε κοῦρος ἔα· νῦν αὖτέ με γῆρας ἱκάνει.
ἀλλὰ καὶ ὣς ἱππεῦσι μετέσσομαι ἠδὲ κελεύσω
βουλῇ καὶ μύθοισι. τὸ γὰρ γέρας ἐστὶ γερόντων.
αἰχμὰς δ' αἰχμάσσουσι νεώτεροι, οἵ περ ἐμεῖο
ὁπλότεροι γεγάασι, πεποίθασίν τε βίηφι.
ὣς ἔφατ'· Ἀτρεΐδης δὲ παρῴχετο γηθόσυνος κῆρ·
εὗρ' υἱὸν Πετεῶο Μενεσθῆα πλήξιππον
ἑσταότ'· ἀμφὶ δ' Ἀθηναῖοι μήστωρες ἀϋτῆς.
αὐτὰρ ὁ πλησίον ἑστήκει πολύμητις Ὀδυσσεύς·
πὰρ δὲ Κεφαλλήνων ἀμφὶ στίχες οὐκ ἀλαπαδναὶ
ἕστασαν· οὐ γάρ πώ σφιν ἀκούετο λαὸς ἀϋτῆς·
ἀλλὰ νέον συνορινόμεναι κίνυντο φάλαγγες
Τρώων ἱπποδάμων καὶ Ἀχαιῶν· οἱ δὲ μένοντες

ἀλλ' οὔ πως: [illegible]

ὁπλότεροι: [illegible]

εὗρ' υἱὸν Πετεῶο: [illegible]

ἀμφὶ δ' Ἀθηναῖοι μήστωρες: [illegible]

ἕστασαν: οὐ γάρ πώ σφιν ἀκούετο, ὅτι τὸ ἀκούετο ἀντὶ τοῦ ἤκουεν [illegible] ἤκουεν ἀντὶ τοῦ αὐτ[illegible]

ἕστασαν ὁππότε πύργος: πύργος τάξις, συνέταξε πυργηδόν ... τρόπος μεταφορᾶς.

Τρώων ὁρμήσειε: ὅτι ἡ διπλῆ πρὸς ... ὁρμήσειεν ... ἡ κατὰ Ἀρίσταρχον ... ἀκούειν ... πρὸς ... Χρῆσθαι ... πολέμοιο.

κεκασμένε: ... κερδαλεόφρον ... πρῶτον ...

τῇ ἄκρᾳ

ἕστασαν, ὁππότε πύργος Ἀχαιῶν ἄλλος ἐπελθὼν,
Τρώων ὁρμήσειε, καὶ ἄρξειαν πολέμοιο.
τοὺς δὲ ἰδὼν νείκεσσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
καί σφεας φωνήσας ἔπεα πτερόεντα προσηύδα·
ὦ υἱὲ Πετεῶο διοτρεφέος βασιλῆος.
καὶ σὺ κακοῖσι δόλοισι κεκασμένε κερδαλεόφρον·
τίπτε καταπτώσσοντες ἀφέστατε μίμνετε δ' ἄλλους·
σφῶϊν μέν τ' ἐπέοικε μετὰ πρώτοισιν ἐόντας
ἑστάμεν. ἠδὲ μάχης καυστειρῆς ἀντιβολῆσαι·
πρώτω γὰρ καὶ δαιτὸς ἀκουάζεσθον ἐμεῖο.
ὁππότε δαῖτα γέρουσιν ἐφοπλίζωμεν Ἀχαιοί·
ἔνθα φίλ' ὀπταλέα κρέα ἔδμεναι. ἠδὲ κύπελλα
οἴνου πινέμεναι μελιηδέος. ὄφρ' ἐθέλητον·
νῦν δὲ φίλως χ' ὁρόῳτε καὶ εἰ δέκα πύργοι Ἀχαιῶν
ὑμείων προπάροιθε μαχοίατο νηλέϊ χαλκῷ·
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Ἀτρεΐδη· ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων·
πῶς δὴ φῂς πολέμοιο μεθιέμεν· ὁππότ' Ἀχαιοὶ
Τρωσὶν ἐφ' ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα·
ὄψεαι ἢν ἐθέλῃσθα. καὶ αἴ κέν τοι τὰ μεμήλῃ·
Τηλεμάχοιο φίλον πατέρα προμάχοισι μιγέντα
Τρώων ἱπποδάμων· σὺ δὲ ταῦτ' ἀνεμώλια βάζεις·
τὸν δ' ἐπιμειδήσας προσέφη κρείων Ἀγαμέμνων
ὡς γνῶ χωομένοιο· πάλιν δ' ὅ γε λάζετο μῦθον·
διογενὲς Λαερτιάδη· πολυμήχαν' Ὀδυσσεῦ·

πρὸς τὸ ... ὁ ... τῇ ...

ἔνθα φίλ' ὀπταλέα: ...

ὁππότε δαῖτα γέρουσιν: ... συμποσίοις ...

Τηλεμάχοιο: ὅτι ... Τηλεμάχου ...

ἕρκος ὀδόντων: ...

τὰ χείλη περιφραστικῶς.

οὔτ' ἐγὼ νεικείω περιώσιον, οὔτε κελεύω.
οἶδα γὰρ ὥς τοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
ἤπια δήνεα οἶδε· τὰ γὰρ φρονέεις ἅ τ' ἐγώ περ.
ἀλλ' ἴθι· ταῦτα δ' ὄπισθεν ἀρεσσόμεθ', εἴ τι κακὸν νῦν
εἴρηται· τὰ δὲ πάντα θεοὶ μεταμώνια θεῖεν.
ὣς εἰπὼν τοὺς μὲν λίπεν αὐτοῦ· βῆ δὲ μετ' ἄλλους·
εὗρε δὲ Τυδέος υἱὸν ὑπέρθυμον Διομήδεα
ἑσταότ' ἔν θ' ἵπποισι καὶ ἅρμασι κολλητοῖσι·
πὰρ δέ οἱ ἑστήκει Σθένελος Καπανήϊος υἱός.
καὶ τὸν μὲν νείκεσσεν ἰδὼν κρείων Ἀγαμέμνων·
καί μιν φωνήσας, ἔπεα πτερόεντα προσηύδα·
ὤ μοι Τυδέος υἱὲ δαΐφρονος, ἱπποδάμοιο.
τί πτώσσεις; τί δ' ὀπιπεύεις πολέμοιο γεφύρας;
οὐ μὲν Τυδέϊ γ' ὧδε φίλον πτωσκαζέμεν ἦεν·
ἀλλὰ πολὺ πρὸ φίλων ἑτάρων δηΐοισι μάχεσθαι.
ὡς φάσαν οἵ μιν ἴδοντο πονεύμενον· οὐ γὰρ ἔγωγε
ἤντησ' οὐδὲ ἴδον· περὶ δ' ἄλλων φασὶ γενέσθαι.
ἤτοι μὲν γὰρ ἄτερ πολέμου εἰσῆλθε Μυκήνας,
ξεῖνος ἅμ' ἀντιθέῳ Πολυνείκεϊ λαὸν ἀγείρων.
οἳ δὲ τότ' ἐστρατόωνθ' ἱερὰ πρὸς τείχεα Θήβης·
καί ῥα μάλα λίσσοντο δόμεν κλειτοὺς ἐπικούρους·
οἳ δ' ἔθελον δόμεναι· καὶ ἐπῄνεον ὡς ἐκέλευον·
ἀλλὰ Ζεὺς ἔτρεψε παραίσια σήματα φαίνων·
οἳ δ' ἐπεὶ οὖν ᾤχοντο, ἰδὲ πρὸ ὁδοῦ ἐγένοντο,
Ἀσωπὸν δ' ἵκοντο βαθύσχοινον λεχεποίην,
ἔνθ' αὖτ' ἀγγελίην ἐπὶ Τυδῆ, στεῖλαν Ἀχαιοί.

ἄτερ πολέμου: οἰδίπους ἀπο[illegible] ἰοκ(άστην) τ(ὴν) θήβην τὸ ἄστυ μεθ' [illegible]. οἱ παῖδες αὐτοῦ [illegible] ἀφανιστήσ(ε)σθαι δὲ [illegible] αὐτοῖς διαιμάτων [illegible] περὶ δὲ τὴν βασιλείαν αὐτοῖς. ἐτεοκλῆς δὲ ὁ [illegible] πολυνείκ(ης) [illegible] αὐτοῦ ὡς πρεσβύτερον παρῆλθεν [illegible] εἰς ἄργος [illegible] εὗρε τυδέα [illegible] φυγάδα ὄντα· καὶ ἀμφοτέρους [illegible] ἀπὸ [illegible] ἀμφοτέροις [illegible] ἀντὶ [illegible] τυδέα μὲν συὸς, πολυνείκη δὲ λέοντος συνεχώρησε [illegible] χρησμόν [illegible] αὐτοῖς [illegible] κάπροις καὶ λέουσι ζεῦξαι τὰς θυγατέρας· δίδωσι τυδεῖ μὲν δηϊπύλην, ἀργείαν δὲ πολυνείκει. πέμπει δὲ [illegible] μυκήνας ἐπὶ συμμαχίαν [illegible] θυέστης μὲν προθύμως ἐδίδου. σημεῖα δὲ αὐτὸν ἐκώλυσε [illegible] οἱ [illegible] πέμπουσι πρεσβευτὴν τυδέα [illegible] συμμαχοίη [illegible] πάντα [illegible] ἀπέστρεψαν [illegible] ἐδέξαντο αὐτόν [illegible].

ξεῖνος ἅμ' ἀντιθέῳ: [illegible] πολυνείκει [illegible] πρέσβεις [illegible] λειτουργοὶ [illegible] πρεσβεύσας [illegible] φοίνιξ [illegible] πρεσβεύει:—

προτείχεα θήβης: θήβαι εἰσὶν αἱ [illegible] ὁ ποιητὴς [illegible] ἐπταπύλους [illegible] καὶ [illegible] φησὶν ἑπτά [illegible]

λεχεποίην: εἰ μὲν [illegible] λεχεποίην λεχεποίην [illegible] εἰ μὲν τὸ [illegible] λέχ' ἀντὶ [illegible]

ῥηϊδίως: ὁ ἀσθενὴς ὤν, ὅτι ἐπιρροθος αὐτῷ ἦν Ἀθηνᾶ [illegible] ἐν δὲ τοῖς ἄθλοις πρὸς τὸν διομήδην [illegible]:—
Μαίων Αἱμονίδης: τὸν Μαίονα μάντιν φασὶ σωζόμενον [illegible] διὰ τὸ μὴ αὐτὸν ἀποθανεῖν· [illegible] τῶν κηρύκων. διὸ φορτικὸν ἦν ἐν ὑβρίζειν αὐτοῖς ὁ δὲ [illegible] τὸ πρόσωπον οὐ [illegible] οὐδὲ [illegible]:—
ἀγορῇ δέ τ' ἀμείνω: ἀντὶ μάχης [illegible] ἀντεγράφη Τυδεύς. Εὐριπίδης· οὐκ ἐν λόγοις [illegible] ἀλλ' ἐν ἀσπίδι [illegible] ὁ δὲ προφυλαξάμενος φορτικὸν αὐτὸν φησὶν ἵνα [illegible] διὸ οὐδὲ πρὸς ταῦτα [illegible] ὁ διομήδης:—

αὐτὰρ ὁ κεῖθι πολέας δὲ κιχήσατο Καδμεΐωνας
δαινυμένους κατὰ δῶμα βίης Ἐτεοκληείης. — ἡ φρασις τῆς Ἐτεοκλέους
ἔνθ' οὐδὲ ξεῖνός περ ἐὼν ἱππηλάτα Τυδεὺς
τάρβει, μοῦνος ἐὼν πολέσιν μετὰ Καδμείοισιν·
ἀλλ' ὅ γ' ἀεθλεύειν προκαλίζετο, πάντα δ' ἐνίκα
※ ῥηϊδίως. τοίη οἱ ἐπιρροθος ἦεν Ἀθήνη.
οἱ δὲ χολωσάμενοι Καδμεῖοι κέντορες ἵππων
ἂψ ἄρ' ἀνερχομένῳ πυκινὸν λόχον εἷσαν ἄγοντες
κούρους πεντήκοντα. δύω δ' ἡγήτορες ἦσαν·
Μαίων Αἱμονίδης ἐπιείκελος ἀθανάτοισιν.
υἱός τ' Αὐτοφόνοιο μενεπτόλεμος Πολυφόντης. — Πολυφόντ[illegible]
Τυδεὺς μὲν καὶ τοῖσιν ἀεικέα πότμον ἐφῆκε·
πάντας ἔπεφν', ἕνα δ' οἶον ἵει οἶκον δὲ νέεσθαι·
Μαίον' ἄρα προέηκε θεῶν τεράεσσι πιθήσας·
τοῖος ἔην Τυδεὺς Αἰτώλιος· ἀλλὰ τὸν υἱὸν
γείνατο εἷο χέρεια μάχῃ, ἀγορῇ δέ τ' ἀμείνων· — ἀμείνω
ὣς φάτο. τὸν δ' οὔ τι προσέφη κρατερὸς Διομήδης
αἰδεσθεὶς βασιλῆος ἐνιπὴν αἰδοίοιο.
τὸν δ' υἱὸς Καπανῆος ἀμείψατο κυδαλίμοιο·
Ἀτρεΐδη, μὴ ψεύδε' ἐπιστάμενος σάφα εἰπεῖν·
ἡμεῖς τοι πατέρων μέγ' ἀμείνονες εὐχόμεθ' εἶναι·
ἡμεῖς καὶ Θήβης ἕδος εἵλομεν ἑπταπύλοιο
— παυρότερον λαὸν ἀγαγόνθ' ὑπὸ τεῖχος ἄρειον·
— πειθόμενοι τεράεσσι θεῶν καὶ Ζηνὸς ἀρωγῇ·
— κεῖνοι δὲ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο·

ἡμεῖς τοι πατέρων: [illegible] διομήδης. οὗτοι γὰρ ἔκγονοι τῶν ἐπιγόνων ἐστρατεύκεισαν ἐπὶ Ἴλιον. ἐπίγονοι δὲ [illegible] ἐπὶ θήβας [illegible] οἱ παῖδες τ
— παυρότερον. [illegible] τούτου [illegible] ἐκεῖνοι δὲ σφετέρῃσιν ἀτασθαλίῃσιν [illegible] ὅτι [illegible] τοῦ διομήδους [illegible] παρείληπται [illegible] οὐ γὰρ μόνοι ἐπεστράτευσαν [illegible] συγχεῖται [illegible] γίνονται [illegible] οἱ πατέρες [illegible] οὗτοι δὲ [illegible] τοῖς θεοῖς συνεβείην [illegible]:—
ὑπὸ τεῖχος ἄρειον: [illegible] τὸ ἄρειον [illegible] τοῦ [illegible]:—

ἔνθεο· Ἀρίσταρχος ἐνποιεῖ τὸ ἔνθεο ἀντὶ τοῦ ἔνθου, ἵνα γένηται ἀνάλογον τῷ μεταθέσθαι [illegible]. Ἀπολλώνιος δὲ διαστέλλει τὸ ἐν, ἵνα γένηται ἐν ὁμοίᾳ. τέττα· ὅτι προσφώνησίς ἐστι φιλεταιρικὴ ἀμφοτέρων ἀμφοτέροις. Ἀριστοφάνης δὲ αὐτὸ τινὲς ἐπιρρήματι σχηματίζουσι· οἱ δὲ κατὰ πάθος ἀπὸ τοῦ τέκνον φασὶν εἶναι· οἱ δὲ ὡς ἀττικῶς τὸ τῆς τέττα [illegible] καὶ τίτιζον· ἔνιοι δὲ τινὲς ἀξιοῦσι γράφειν ἐπεὶ ὅμως τοῖς ἔθνεσι καὶ πᾶσιν [illegible] ἐξ αὐτῆς σημαντικὴν ἔχει. [illegible] ὀρνυμένου· τοῖς ἄγαν προσδοκῶν τὸ ὁρμητικὸν καὶ [illegible] πρὸ αὐτοῦ [illegible] προσδιδόναι τοῖς αὐτοῦ [illegible] πρὸ αὐτοῦ ὄντος· ἢ μᾶλλον ὁρμῶντος αὐτοῦ καὶ τὸν ἄνδρα δέος φόβος κατέλαβεν.

ἧσο· ἀντὶ τοῦ ἐκάθου ἀντὶ τοῦ ἀπολέσθαι πρὸς [illegible] καθέζεσθαι· ἀντὶ τοῦ ἐλλείπειν τὸ μετὰ σιωπῆς ἧσο.

τῷ μή μοι πατέρας ποθ' ὁμοίῃ ἔνθεο τιμῇ.
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κρατερὸς Διομήδης·
τέττα, σιωπῇ ἧσο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ·
οὐ γὰρ ἐγὼ νεμεσῶ Ἀγαμέμνονι ποιμένι λαῶν
ὀτρύνοντι μάχεσθαι ἐϋκνήμιδας Ἀχαιούς·
τούτῳ μὲν γὰρ κῦδος ἅμ' ἕψεται, εἴ κεν Ἀχαιοὶ
Τρῶας δῃώσωσιν, ἕλωσί τε Ἴλιον ἱρήν·
τούτῳ δ' αὖ μέγα πένθος Ἀχαιῶν δῃωθέντων.
ἀλλ' ἄγε δὴ καὶ νῶϊ μεδώμεθα θούριδος ἀλκῆς.
ἦ ῥα· καὶ ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε·
δεινὸν δ' ἔβραχε χαλκὸς ἐπὶ στήθεσσιν ἄνακτος
ὀρνυμένου· ὑπό κεν ταλασίφρονά περ δέος εἷλεν.
ὡς δ' ὅτ' ἐν αἰγιαλῷ πολυηχέϊ κῦμα θαλάσσης
ὄρνυτ' ἐπασσύτερον Ζεφύρου ὕπο κινήσαντος·
πόντῳ μέν τε πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
χέρσῳ ῥηγνύμενον μεγάλα βρέμει, ἀμφὶ δέ τ' ἄκρας
κυρτὸν ἐὸν κορυφοῦται, ἀποπτύει δ' ἁλὸς ἄχνην·
ὣς τότ' ἐπασσύτεραι Δαναῶν κίνυντο φάλαγγες
νωλεμέως πόλεμόνδε· κέλευε δὲ οἷσιν ἕκαστος
ἡγεμόνων· οἱ δ' ἄλλοι ἀκὴν ἴσαν, οὐδέ κε φαίης
τόσσον λαὸν ἕπεσθαι ἔχοντ' ἐν στήθεσιν αὐδήν,
σιγῇ δειδιότες σημάντορας· ἀμφὶ δὲ πᾶσι
τεύχεα ποικίλ' ἔλαμπε, τὰ εἱμένοι ἐστιχόωντο.
Τρῶες δ', ὥς τ' ὄϊες πολυπάμονος ἀνδρὸς ἐν αὐλῇ
μυρίαι ἑστήκασιν ἀμελγόμεναι γάλα λευκόν,

Ζεφύρου ὑπὸ κινήσαντος· [illegible] ἀπὸ τῆς ἀκτῆς καὶ μικρὸν καὶ τυραννίον ἀναστρέφουσιν· οἱ δ' ἄλλοι παρ' ἑαυτὸν φασὶ τὴν πρόθεσιν ἐν θέσει φυλάσσεσθαι, ὡς τὸ ὁμοίως τοῖς [illegible] ἡνίοχος παραβλώψ ὑπόδρα.

ἡγεμόνων· [illegible] ὅτι [illegible] ὑπερβατὸν πρὸς τὸ πλῆθος· οὐδέ κε φαίης ἀντὶ τοῦ οὐδὲ φαίη τις ἄν· τὸ δὲ ἑξῆς· οἱ δ' ἄλλοι ἀκὴν ἴσαν σημάντορας δειδιότες· τὰ δὲ ἄλλα διὰ μέσου.

ἀποπτύει δ' ἁλὸς ἄχνην· τὴν [illegible] τῆς θαλάσσης ἀφρὸν [illegible] ἄλλοι δὲ καὶ φῦκι φασίν.

πολυπάμονος· πάματα κατὰ [illegible] παράδοσιν τὰ κτήματα· πάσασθαι τὸ κτήσασθαι [illegible]

† ὦρσε δὲ τοὺς μὲν Ἄρης: [illegible]

ἄμοτον: [illegible]

ἄζηχὲς μεμαυῖαι, ἀκούουσαι ὄπα ἀρνῶν·
ὣς Τρώων ἀλαλητὸς ἀνὰ στρατὸν εὐρὺν ὀρώρει·
οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος οὐδ' ἴα γῆρυς,
ἀλλὰ γλῶσσ' ἐμέμικτο, πολύκλητοι δ' ἔσαν ἄνδρες.
ὦρσε δὲ τοὺς μὲν Ἄρης, τοὺς δὲ γλαυκῶπις Ἀθήνη
Δεῖμός τ' ἠδὲ Φόβος καὶ Ἔρις ἄμοτον μεμαυῖα,
Ἄρεος ἀνδροφόνοιο κασιγνήτη ἑτάρη τε,
ἥ τ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει·
ἥ σφιν καὶ τότε νεῖκος ὁμοίϊον ἔμβαλε μέσσῳ
ἐρχομένη καθ' ὅμιλον, ὀφέλλουσα στόνον ἀνδρῶν.
οἳ δ' ὅτε δή ῥ' ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο,
σύν ῥ' ἔβαλον ῥινούς, σὺν δ' ἔγχεα καὶ μένε' ἀνδρῶν
χαλκεοθωρήκων· ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι
ἔπληντ' ἀλλήλῃσι, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν
ὀλλύντων τε καὶ ὀλλυμένων, ῥέε δ' αἵματι γαῖα.
ὡς δ' ὅτε χείμαρροι ποταμοὶ κατ' ὄρεσφι ῥέοντες
ἐς μισγάγκειαν συμβάλλετον ὄβριμον ὕδωρ
κρουνῶν ἐκ μεγάλων κοίλης ἔντοσθε χαράδρης,
τῶν δέ τε τηλόσε δοῦπον ἐν οὔρεσιν ἔκλυε ποιμήν·
ὣς τῶν μισγομένων γένετο ἰαχή τε φόβος τε.
πρῶτος δ' Ἀντίλοχος Τρώων ἕλεν ἄνδρα κορυστὴν
ἐσθλὸν ἐνὶ προμάχοισι Θαλυσιάδην Ἐχέπωλον·
τόν ῥ' ἔβαλε πρῶτος κόρυθος φάλον ἱπποδασείης.

χαλκεοθωρήκων: [illegible]

ὀρυμαγδός: [illegible]

χείμαρροι: [illegible]

χαράδρης: [illegible]

πρῶτος δ' Ἀντίλοχος: [illegible]

ἐσθλὸν ἐνὶ προμάχοισι: [illegible]

τὸν δὲ πεσόντα: ὅτι πάντοτε τῆς [illegible] τοὺς γὰρ πόδας τοῖς πολεμίοις [illegible]:
ἕλκε δ' ὑπὲκ βελέων: διὰ τὸ μὴ [illegible] νεκρόν· [illegible] λελιημένος ὄφρα τάχιστα

ἐν δὲ μετώπῳ πῆξε· πέρησε δ' ἄρ' ὀστέον εἴσω
αἰχμὴ χαλκείη· τὸν δὲ σκότος ὄσσε κάλυψεν·
ἤριπε δ' ὡς ὅτε πύργος ἐνὶ κρατερῇ ὑσμίνῃ·
> τὸν δὲ πεσόντα ποδῶν ἔλαβε κρείων Ἐλεφήνωρ
χαλκωδοντιάδης, μεγαθύμων ἀρχὸς Ἀβάντων·
ἕλκε δ' ὑπὲκ βελέων λελιημένος ὄφρα τάχιστα
τεύχεα συλήσειε· μίνυνθα δέ οἱ γένεθ' ὁρμή·
νεκρὸν γὰρ ἐρύοντα ἰδὼν μεγάθυμος Ἀγήνωρ,
πλευρά, τά οἱ κύψαντι παρ' ἀσπίδος ἐξεφαάνθη,
οὔτησε ξυστῷ χαλκήρεϊ, λῦσε δὲ γυῖα.
ὣς τὸν μὲν λίπε θυμός· ἐπ' αὐτῷ δ' ἔργον ἐτύχθη
ἀργαλέον Τρώων καὶ Ἀχαιῶν· οἱ δὲ λύκοι ὣς
ἀλλήλοις ἐπόρουσαν· ἀνὴρ δ' ἄνδρ' ἐδνοπάλιζεν.
ἔνθ' ἔβαλ' Ἀνθεμίωνος υἱὸν Τελαμώνιος Αἴας,
ἠΐθεον θαλερὸν Σιμοείσιον, ὅν ποτε μήτηρ
Ἴδηθεν κατιοῦσα παρ' ὄχθῃσιν Σιμόεντος
γείνατ', ἐπεί ῥα τοκεῦσιν ἅμ' ἕσπετο μῆλα ἰδέσθαι·
τοὔνεκά μιν κάλεον Σιμοείσιον· οὐδὲ τοκεῦσι
※ θρέπτρα φίλοις ἀπέδωκε, μινυνθάδιος δέ οἱ αἰὼν
ἔπλεθ', ὑπ' Αἴαντος μεγαθύμου δουρὶ δαμέντι.
πρῶτον γάρ μιν ἰόντα βάλε στῆθος παρὰ μαζὸν
δεξιόν· ἀντικρὺ δὲ δι' ὤμου χάλκεον ἔγχος
ἦλθεν· ὁ δ' ἐν κονίῃσι χαμαὶ πέσεν αἴγειρος ὥς,
ἥ ῥά τ' ἐν εἱαμενῇ ἕλεος μεγάλοιο πεφύκει
λείη, ἀτάρ τέ οἱ ὄζοι ἐπ' ἀκροτάτῃ πεφύασι·
τὴν μέν θ' ἁρματοπηγὸς ἀνὴρ αἴθωνι σιδήρῳ

ἐδνοπάλιζεν: δονοπάλιζεν. [illegible] δονοπαλίζω [illegible] δονοπαλίζω [illegible]:

Ἴδηθεν: Ἴδη ὄρος ἐστὶν ὑψηλότατον Τρωΐας· ἔστι δὲ καὶ ἑτέρα Ἴδη τῆς Κρήτης, ἀπὸ Ἴδης τῆς τὸν Δία θρεψαμένης· [illegible] πάντα τὰ ὄρη [illegible] ἀπ' αὐτοῦ πάντα καθορᾶν:

θρέπτρα φίλοις: ὅτι Ζηνόδοτος γράφει [illegible] λέγεται δὲ θρέπτρα [illegible] θρεπτήρια [illegible] τὰ θρεπτήρια [illegible]:

ἐν εἱαμενῇ: ἐν καθύδρῳ καὶ ποταμώδει τόπῳ. ὠνόμασται δὲ ἀπὸ τοῦ [illegible] καὶ ἀραιός [illegible] παρὰ [illegible] ἢ ῥεῖ [illegible] ὁ καταρρεόμενος τόπος [illegible] ἀπὸ τοῦ [illegible] ὁ μαζὸς [illegible]

λ

† Ἡ μέν τ' ἀζομένη: ὅτι τὴν αἰτίαν ἐν ἄλλοις παραδέδωκεν διὸ παρὰ ταῖς τῶν ποταμῶν ἀναχοαῖς τίθεται τὰ δενδροτομούμενα ξύλα. ὅ διὸ τὸ πεδίον καὶ ποταμὸς ... κατορθωμένον ... δὲ ἐξαρθέντα. πολλὰς δὲ ἐπὶ ... τούτου χάριν ἵνα καταξηρανθῇ ὑπὸ τοῦ ἡλίου :-

Βεβλήκει βουβῶνα νέκυν: ... τὸ νεκρὸν σῶμα οὐ ... διὰ τὸ μὴ ἀπαρτίσαι γὰρ εἰς ... :-

Ἀμφὶ ἑ παπτήνας ... μεγαλάμιναν ... :-

ἐξέταμ', ὄφρα ἴτυν κάμψῃ περικαλλέϊ δίφρῳ·

› ἡ μέν τ' ἀζομένη κεῖται ποταμοῖο παρ' ὄχθας·

τοῖον ἄρ' Ἀνθεμίδην Σιμοείσιον ἐξενάριξεν

Αἴας διογενής· τοῦ δ' Ἄντιφος αἰολοθώρηξ

Πριαμίδης καθ' ὅμιλον ἀκόντισεν ὀξέϊ δουρί·

› τοῦ μὲν ἅμαρθ', ὁ δὲ Λεῦκον Ὀδυσσέος ἐσθλὸν ἑταῖρον

βεβλήκει βουβῶνα, νέκυν ἑτέρωσ' ἐρύοντα·

ἤριπε δ' ἀμφ' αὐτῷ, νεκρὸς δέ οἱ ἔκπεσε χειρός.

τοῦ δ' Ὀδυσεὺς μάλα θυμὸν ἀποκταμένοιο χολώθη·

βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ·

στῆ δὲ μάλ' ἐγγὺς ἰὼν καὶ ἀκόντισε δουρὶ φαεινῷ

ἀμφὶ ἓ παπτήνας· ὑπὸ δὲ Τρῶες κεκάδοντο

ἀνδρὸς ἀκοντίσαντος· ὁ δ' οὐχ ἅλιον βέλος ἧκεν·

ἀλλ' υἱὸν Πριάμοιο νόθον βάλε Δημοκόωντα·

› ὅς οἱ Ἀβυδόθεν ἦλθε παρ' ἵππων ὠκειάων·

τὸν ῥ' Ὀδυσσεὺς ἑτάροιο χολωσάμενος βάλε δουρὶ

› κόρσην· ἣ δ' ἑτέροιο διὰ κροτάφοιο πέρησεν

αἰχμὴ χαλκείη· τὸν δὲ σκότος ὄσσε κάλυψε·

δούπησεν δὲ πεσών· ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.

χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ·

Ἀργεῖοι δὲ μέγ' ἴαχον· ἐρύσαντο δὲ νεκρούς·

ἴθυσαν δὲ πολὺ προτέρω· νεμέσησε δ' Ἀπόλλων

Περγάμου ἐκκατιδών· Τρώεσσι δὲ κέκλετ' ἀΰσας·

ὄρνυσθ' ἱππόδαμοι Τρῶες· μηδ' εἴκετε χάρμης

Ἀργείοις· ἐπεὶ οὔ σφι λίθος χρὼς οὐδὲ σίδηρος

χαλκὸν ἀνασχέσθαι ταμεσίχροα βαλλομένοισι·

Left margin: τοῦ Λεύκου ... τοῦ ἑταίρου τοῦ ... ρων — τοῦ Ἀντίφου — ὅς οἱ ... ὑποστρέφων ... ἐκ τῶν τοῦ Πριάμου.

Right margin: ... ἀκοντίσει δουρὶ φαεινῷ

† Νόθον: τὸν οὐ γνήσιον ἀλλ' ἐκ παλλακίδος ὄντα. οὐ γὰρ παιδοποιΐαν παρὰ τοῖς ποιηταῖς ἔχομεν ... ὁ μὲν γνήσιος ὁ γαμέτης καὶ μιᾶς ... ὁ ἄλλος σκότιος ὁ ἄλλος παρθένιος. γνήσιος ... ὁ ἐκ νόμῳ γεγαμημένης. νόθος ὁ ἐκ παλλακῆς ... ὡς ἐπὶ Διὸς ... σκότιος ὁ ἐκ λαθραίας μίξεως ... παρθένιος ὁ ἐκ τῆς παρθένου ... ὡς τὸ παρθένιον τὸν ἔτικτε χορῷ καλὴ πολυμήλη ... νόθος ... :-

Παρ' ἵππων ὠκειάων: ... ἔνθα ἵπποι ... εἴπερ δὲ ... ἵπποι τοῦ Πριάμου.

Κόρσην: τὸν κρόταφον. ... οἱ ἀττικοὶ τὴν γνάθον. καὶ ἑτέροιο διὰ κροτάφοιο ... κόρση κρόταφος καὶ κρόταφος. ... διότι προειπὼν τὴν κεφαλὴν ... κρόταφον :-

Τὸν δὲ σκότος ὄσσε κάλυψεν: ... σκότος ὁ ... :-

Περγάμου ἐκκατιδών: ἐκ τῆς ἀκροπόλεως προσχών. ... Ἰλίου ἀκρόπολις Πέργαμον καλεῖται. οἱ γὰρ νεώτεροι πᾶσαν τὴν ἀκρόπολιν ... ἐπεὶ ... ἀκρόπολιν ... προσβάλλειν ... :-

+ Τριτογένεια: ἡ Ἀθηνᾶ ἡ τὸ τρεῖν καὶ φοβεῖσθαι γεννῶσα τοῖς πολεμίοις. ἢ ἐπεὶ παρὰ τῷ Τρίτωνι ποταμῷ [illegible] γεννηθεῖσα· ὅτι γεννηθεῖσαν ἔσεβον αὐτὴν οἱ θεοί:·

οὐ μὰν οὐδ' Ἀχιλλεύς· θέτιδος πάϊς ἠϋκόμοιο
μάρναται· ἀλλ' ἐπὶ νηυσὶ χόλον θυμαλγέα πέσσει.
ὣς φάτ' ἀπὸ πτόλιος δεινὸς θεός· αὐτὰρ ἀχαιοὺς
ὦρσε διὸς θυγάτηρ κυδίστη τριτογένεια.
ἐρχομένη καθ' ὅμιλον· ὅθι μεθιέντας ἴδοιτο·
ἔνθ' ἀμαρυγκείδην διώρεα μοῖρ' ἐπέδησε.
χερμαδίῳ γὰρ βλῆτο παρὰ σφυρὸν ὀκριόεντι
κνήμην δεξιτερήν· βάλε δὲ θρηκῶν ἀγὸς ἀνδρῶν.
πείρως ἰμβρασίδης· ὃς ἄρ' αἰνόθεν εἰληλούθει·
ἀμφοτέρω δὲ τένοντε καὶ ὀστέα λᾶας ἀναιδὴς
ἄχρις ἀπηλοίησεν· ὁ δ' ὕπτιος ἐν κονίῃσι
κάππεσεν· ἄμφω χεῖρε φίλοις ἑτάροισι πετάσσας.
θυμὸν ἀποπνείων· ὁ δ' ἐπέδραμεν· ὅς ῥ' ἔβαλέν περ
πείρως· οὖτα δὲ δουρὶ παρ' ὀμφαλόν· ἐκ δ' ἄρα πᾶσαι
χύντο χαμαὶ χολάδες· τὸν δὲ σκότος ὄσσε κάλυψε.
τὸν δὲ θόας αἰτωλὸς ἀπεσσύμενον βάλε δουρὶ
στέρνον ὑπὲρ μαζοῖο, πάγη δ' ἐν πνεύμονι χαλκός·
ἀγχίμολον δέ οἱ ἦλθε θόας· ἐκ δ' ὄβριμον ἔγχος
ἐσπάσατο στέρνοιο· ἐρύσσατο δὲ ξίφος ὀξύ.
τῷ ὅ γε γαστέρα τύψε μέσην· ἐκ δ' αἴνυτο θυμόν.
τεύχεα δ' οὐκ ἀπέδυσε· περίστησαν γὰρ ἑταῖροι
θρήϊκες ἀκρόκομοι· δολίχ' ἔγχεα χερσὶν ἔχοντες.
οἵ ἑ μέγαν περ ἐόντα· καὶ ἴφθιμον· καὶ ἀγαυὸν
ὦσαν ἀπὸ σφείων· ὁ δὲ χασσάμενος πελεμίχθη.
ὣς τώ γ' ἐν κονίῃσι παρ' ἀλλήλοισι τετάσθην

+ χύντο χαμαὶ χολάδες: τὰ ἔντερα [illegible] εἰς αὐτὰ συρρεῖ ἡ ξανθὴ χολή· τοῦτο μηχανησαμένης τῆς φύσεως πρὸς [illegible] καὶ [illegible] τέλος κρίσιν [illegible]. [illegible] γὰρ [illegible] ὄντα [illegible] παντα· οἱ δὲ [illegible] παρὰ τὸ [illegible]:—

οἵ ἑ μέγαν περ ἐόντα: [illegible]:—

ὦσαν ἀπὸ σφείων. [illegible]:—

ἔνθα κεν οὐκέτι ἔργον: [illegible]

δινεύοι κατὰ μέσσον: [illegible]

ἤτοι ὁ μὲν Θρηΐκων· ὁ δ' Ἐπειῶν χαλκοχιτώνων
ἡγεμόνες· πολλοὶ δὲ περὶ κτείνοντο καὶ ἄλλοι·
ἔνθα κεν οὐκέτι ἔργον ἀνὴρ ὀνόσαιτο μετελθὼν
ὅστις ἔτ' ἄβλητος καὶ ἀνούτατος ὀξέϊ χαλκῷ
δινεύοι κατὰ μέσσον· ἄγοι δέ ἑ Παλλὰς Ἀθήνη
χειρὸς ἑλοῦσ'· αὐτὰρ βελέων ἀπερύκοι ἐρωήν·
πολλοὶ γὰρ Τρώων καὶ Ἀχαιῶν ἤματι κείνῳ
πρηνέες ἐν κονίῃσι παρ' ἀλλήλοισι τέταντο·

+ παράκειται τὰ Ἀριστονίκου σημεῖα καὶ τὰ Διδύμου περὶ τῆς Ἀρισταρχείου διορθώσεως· τινὰ δὲ καὶ ἐκ τῆς Ἰλιακῆς προσῳδίας Ἡρωδιανοῦ καὶ τοῦ Νικάνορος περὶ στιγμῆς.

Δ

ΙΛΙΑΔΟΣ Ε

Ἔνθ' αὖ Τυδεΐδῃ Διομήδεϊ Παλλὰς Ἀθήνη
δῶκε μένος καὶ θάρσος· ἵν' ἔκδηλος μετὰ πᾶσιν
Ἀργείοισι γένοιτο· ἰδὲ κλέος ἐσθλὸν ἄροιτο·
δαῖέ οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ
ἀστέρ' ὀπωρινῷ ἐναλίγκιον· ὅστε μάλιστα
λαμπρὸν παμφαίνῃσι λελουμένος Ὠκεανοῖο·
τοῖόν οἱ πῦρ δαῖεν ἀπὸ κρατός τε καὶ ὤμων·
ὦρσε δέ μιν κατὰ μέσσον· ὅθι πλεῖστοι κλονέοντο·

ΧΛ

δῶκε μένος καὶ θάρσος: [illegible]

δαῖέ οἱ: [illegible]

ἀκάματον: [illegible]

ἀστέρ' ὀπωρινῷ: [illegible]

ὠκεανοῖο: [illegible]